BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS X

EXEMPLAR ITERATVM

MCMV

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

Collections

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM A

PHILOLOGIS AFRANIS

FASCICVLVS X

EXEMPLAR ITERATVM

MCMV

LIPSIAE

IN AEDIBVS B. G. TEVBNERI

In hac iteratione interpunctionem, orthographiam, accentus aliquot locis correximus, tum haec nouauimus: III 1, 8 *εὐδαιμόνει* pro *εὐδαιμονεῖ*, IX 7 *πεπραγέναι* pro *πεπραχέναι*, 10 *ὑπὸ* pro *ἀπὸ*, 11 *ὑπερβάλλῃ* pro *ὑπερβάλοι*, XIV 4 *ἀσπαίρειν* pro *ἀπαίρειν*, 5 *ἔσταθεν — δαιμόνια* pro *ἔσταθεν — δαιμόνιαι*, XIX 4 *ἐκλείποντος* pro *ἐκλιπόντος*, 6 *Παρμένοντος ὗν'' ἀφεῖναι* pro *Παρμένοντος'' συναφεῖναι*, 7 *φιλοτέχνως* pro *φιλοτίμως*.

LIPSIAE: TYPIS B. G. TEVBNERI

I. De rhapsodis.

(Plat. Ion. p. 532 C—536 D. cf. fasc. II p. 3.)

ΙΩΝ. *Τί ποτε τὸ αἴτιον, ὦ Σώκρατες, ὅτι ἐγώ,* 1
ὅταν μέν τις περὶ ἄλλου του ποιητοῦ διαλέγηται, οὔτε προσέχω τὸν νοῦν ἀδυνατῶ τε καὶ ὁτιοῦν συμβαλέσθαι λόγου ἄξιον, ἀλλ' ἀτεχνῶς νυστάζω, ἐπειδὰν δέ τις περὶ Ὁμήρου μνησθῇ, εὐθύς τε ἐγρήγορα καὶ προσέχω τὸν νοῦν καὶ εὐπορῶ ὅ τι λέγω;

ΣΩ. *Οὐ χαλεπὸν τοῦτό γε εἰκάσαι, ὦ ἑταῖρε, ἀλλὰ παντὶ δῆλον, ὅτι τέχνῃ καὶ ἐπιστήμῃ περὶ Ὁμήρου λέγειν ἀδύνατος εἶ· εἰ γὰρ τέχνῃ οἷός τε ἦσθα, καὶ περὶ τῶν ἄλλων ποιητῶν ἁπάντων λέγειν οἷός τ' ἂν ἦσθα· ποιητικὴ γάρ πού ἐστι τὸ ὅλον. ἢ οὔ;* 2

ΙΩΝ. *Ναί.*

ΣΩ. *Οὐκοῦν ἐπειδὰν λάβῃ τις καὶ ἄλλην τέχνην ἡντινοῦν ὅλην, ὁ αὐτὸς τρόπος τῆς σκέψεώς ἐστι περὶ ἁπασῶν τῶν τεχνῶν; πῶς τοῦτο λέγω, δέει τί μου ἀκοῦσαι, ὦ Ἴων;*

ΙΩΝ. *Ναὶ μὰ τὸν Δί', ὦ Σώκρατες, ἔγωγε· χαίρω γὰρ ἀκούων ὑμῶν τῶν σοφῶν.*

ΣΩ. *Βουλοίμην ἄν σε ἀληθῆ λέγειν, ὦ Ἴων· ἀλλὰ σοφοὶ μέν πού ἐστε ὑμεῖς οἱ ῥαψῳδοὶ καὶ οἱ ὑποκριταὶ καὶ ὧν ὑμεῖς ᾄδετε τὰ ποιήματα, ἐγὼ δὲ οὐδὲν*

ἄλλο ἢ εὐήθη λέγω, οἷον εἰκὸς ἰδιώτην ἄνθρωπον.
3 ἐπεὶ καὶ περὶ τούτου, οὗ νῦν ἠρόμην σε, θέασαι ὡς φαῦλον καὶ ἰδιωτικόν ἐστι καὶ παντὸς ἀνδρὸς γνῶναι ὃ ἔλεγον, τὴν αὐτὴν εἶναι σκέψιν, ἐπειδάν τις ὅλην τέχνην λάβῃ. λάβωμεν γὰρ τῷ λόγῳ· γραφικὴ γάρ τίς ἐστι τέχνη τὸ ὅλον;

ΙΩΝ. *Ναί.*

ΣΩ. *Οὐκοῦν καὶ γραφεῖς πολλοὶ καὶ εἰσὶ καὶ γεγόνασιν ἀγαθοὶ καὶ φαῦλοι;*

ΙΩΝ. *Πάνυ γε.*

4 ΣΩ. *Ἤδη οὖν τινα εἶδες, ὅστις περὶ μὲν Πολυγνώτου τοῦ Ἀγλαοφῶντος δεινός ἐστιν ἀποφαίνειν, ἃ εὖ τε γράφει καὶ ἃ μή, περὶ δὲ τῶν ἄλλων γραφέων ἀδύνατος; καὶ ἐπειδὰν μέν τις τὰ τῶν ἄλλων ζωγράφων ἔργα ἐπιδεικνύῃ, νυστάζει τε καὶ ἀπορεῖ καὶ οὐκ ἔχει ὅ τι συμβάληται, ἐπειδὰν δὲ περὶ Πολυγνώτου ἢ ἄλλου ὅτου βούλει τῶν γραφέων ἑνὸς δέῃ ἀποφήνασθαι γνώμην, ἐγρήγορέ τε καὶ προσέχει τὸν νοῦν καὶ εὐπορεῖ ὅ τι εἴπῃ;*

ΙΩΝ. *Οὐ μὰ τὸν Δία, οὐ δῆτα.*

5 ΣΩ. *Τί δέ; ἐν ἀνδριαντοποιίᾳ ἤδη τιν' εἶδες, ὅστις περὶ μὲν Δαιδάλου τοῦ Μητίονος ἢ Ἐπειοῦ τοῦ Πανοπέως ἢ Θεοδώρου τοῦ Σαμίου ἢ ἄλλου τινὸς ἀνδριαντοποιοῦ ἑνὸς πέρι δεινός ἐστιν ἐξηγεῖσθαι ἃ εὖ πεποίηκεν, ἐν δὲ τοῖς τῶν ἄλλων ἀνδριαντοποιῶν ἔργοις ἀπορεῖ τε καὶ νυστάζει, οὐκ ἔχων ὅ τι εἴπῃ;*

ΙΩΝ. *Οὐ μὰ τὸν Δία, οὐδὲ τοῦτον ἑώρακα.*

6 ΣΩ. *Ἀλλὰ μήν, ὥς γ' ἐγὼ οἶμαι, οὐδ' ἐν αὐλήσει γε οὐδὲ ἐν κιθαρίσει οὐδὲ ἐν κιθαρῳδίᾳ οὐδὲ ἐν ῥαψῳδίᾳ οὐδεπώποτ' εἶδες ἄνδρα, ὅστις περὶ μὲν Ὀλύμπου δεινός ἐστιν ἐξηγεῖσθαι ἢ περὶ Θαμύρου ἢ περὶ*

Ὀρφέως ἢ περὶ Φημίου τοῦ Ἰθακησίου, περὶ δὲ Ἴωνος τοῦ Ἐφεσίου ἀπορεῖ καὶ οὐκ ἔχει συμβάλλεσθαι, ἅ τε εὖ ῥαψῳδεῖ καὶ ἃ μή.

ΙΩΝ. *Οὐκ ἔχω σοι περὶ τούτου ἀντιλέγειν, ὦ Σώκρατες· ἀλλ' ἐκεῖνο ἐμαυτῷ σύνοιδα, ὅτι περὶ Ὁμήρου κάλλιστ' ἀνθρώπων λέγω καὶ εὐπορῶ καὶ οἱ ἄλλοι πάντες μέ φασιν εὖ λέγειν, περὶ δὲ τῶν ἄλλων οὔ. καίτοι ὅρα τοῦτο τί ἔστιν.*

ΣΩ. *Καὶ ὁρῶ, ὦ Ἴων, καὶ ἔρχομαί γέ σοι ἀπο-* 7
φανούμενος, ὅ μοι δοκεῖ τοῦτο εἶναι. ἔστι γὰρ τοῦτο τέχνη μὲν οὐκ, ὂν παρὰ σοὶ περὶ Ὁμήρου εὖ λέγειν, ὃ νῦν δὴ ἔλεγον, θεία δὲ δύναμις, ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ, ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν, οἱ δὲ πολλοὶ Ἡρακλείαν. καὶ γὰρ αὕτη ἡ λίθος οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησι τοῖς δακτυλίοις, ὥστε δύνασθαι ταὐτὸν τοῦτο ποιεῖν ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους, ὥστ' ἐνίοτε ὁρμαθὸς μακρὸς πάνυ σιδηρῶν δακτυλίων ἐξ ἀλλήλων ἤρτηται· πᾶσι δὲ τούτοις ἐξ ἐκείνης τῆς λίθου ἡ δύναμις ἀνήρτηται. οὕτω 8
δὲ καὶ ἡ Μοῦσα ἐνθέους μὲν ποιεῖ αὐτή, διὰ δὲ τῶν ἐνθέων τούτων ἄλλων ἐνθουσιαζόντων ὁρμαθὸς ἐξαρτᾶται. πάντες γὰρ οἵ τε τῶν ἐπῶν ποιηταὶ οἱ ἀγαθοὶ οὐκ ἐκ τέχνης ἀλλ' ἔνθεοι ὄντες καὶ κατεχόμενοι πάντα ταῦτα τὰ καλὰ λέγουσι ποιήματα, καὶ οἱ μελοποιοὶ οἱ ἀγαθοὶ ὡσαύτως, ὥσπερ οἱ κορυβαντιῶντες οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται, οὕτω καὶ οἱ μελοποιοὶ οὐκ ἔμφρονες ὄντες τὰ καλὰ μέλη ταῦτα ποιοῦσιν, ἀλλ' ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ εἰς τὸν ῥυθμόν, βακχεύουσι καὶ κατεχόμενοι, ὥσπερ αἱ βάκχαι ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἐμ-

φρονες δὲ οὖσαι οὔ, καὶ τῶν μελοποιῶν ἡ ψυχὴ τοῦτο
9 ἐργάζεται, ὅπερ αὐτοὶ λέγουσι. λέγουσι γὰρ δήπουθεν
πρὸς ἡμᾶς οἱ ποιηταί, ὅτι ἀπὸ κρηνῶν μελιρρύτων ἐκ
Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη
ἡμῖν φέρουσιν ὥσπερ αἱ μέλιτται, καὶ αὐτοὶ οὕτω πε-
τόμενοι· καὶ ἀληθῆ λέγουσι· κοῦφον γὰρ χρῆμα ποιη-
τής ἐστι καὶ πτηνὸν καὶ ἱερόν, καὶ οὐ πρότερον οἷός
τε ποιεῖν, πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων καὶ
ὁ νοῦς μηκέτι ἐν αὐτῷ ἐνῇ· ἕως δ' ἂν τουτὶ ἔχῃ τὸ
κτῆμα, ἀδύνατος πᾶς ποιεῖν ἐστιν ἄνθρωπος καὶ χρη-
10 σμῳδεῖν. ἅτε οὖν οὐ τέχνῃ ποιοῦντες πολλὰ λέγοντες
καὶ καλὰ περὶ τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου,
ἀλλὰ θείᾳ μοίρᾳ, τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν
καλῶς, ἐφ' ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησεν, ὁ μὲν διθυ-
ράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ ὑπορχήματα, ὁ δ' ἔπη, ὁ
δ' ἰάμβους· τὰ δ' ἄλλα φαῦλος αὐτῶν ἕκαστός ἐστιν.
11 οὐ γὰρ τέχνῃ ταῦτα λέγουσιν, ἀλλὰ θείᾳ δυνάμει, ἐπεί,
εἰ περὶ ἑνὸς τέχνῃ καλῶς ἠπίσταντο λέγειν, κἂν περὶ
τῶν ἄλλων ἁπάντων· διὰ ταῦτα δὲ ὁ θεὸς ἐξαιρού-
μενος τούτων τὸν νοῦν τούτοις χρῆται ὑπηρέταις καὶ
τοῖς χρησμῳδοῖς καὶ τοῖς μάντεσι τοῖς θείοις, ἵνα ἡμεῖς
οἱ ἀκούοντες εἰδῶμεν, ὅτι οὐχ οὗτοί εἰσιν οἱ ταῦτα
λέγοντες οὕτω πολλοῦ ἄξια, οἷς νοῦς μὴ πάρεστιν,
ἀλλ' ὁ θεὸς αὐτός ἐστιν ὁ λέγων, διὰ τούτων δὲ φθέγ-
12 γεται πρὸς ἡμᾶς. μέγιστον δὲ τεκμήριον τῷ λόγῳ
Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώποτ'
ἐποίησε ποίημα, ὅτου τις ἂν ἀξιώσειε μνησθῆναι, τὸν
δὲ παιῶνα, ὃν πάντες ᾄδουσι, σχεδόν τι πάντων μελῶν
κάλλιστον, ἀτεχνῶς, ὅπερ αὐτὸς λέγει, εὕρημά τι Μοι-
σᾶν. ἐν τούτῳ γὰρ δὴ μάλιστά μοι δοκεῖ ὁ θεὸς ἐν-
δείξασθαι ἡμῖν, ἵνα μὴ διστάζωμεν, ὅτι οὐκ ἀνθρώπινά

*ἐστι τὰ καλὰ ταῦτα ποιήματα οὐδὲ ἀνθρώπων, ἀλλὰ
θεῖα καὶ θεῶν, οἱ δὲ ποιηταὶ οὐδὲν ἀλλ' ἢ ἑρμηνεῖς
εἰσι τῶν θεῶν, κατεχόμενοι ἐξ ὅτου ἂν ἕκαστος κατέ-
χηται. ταῦτα ἐνδεικνύμενος ὁ θεὸς ἐξεπίτηδες διὰ τοῦ
φαυλοτάτου ποιητοῦ τὸ κάλλιστον μέλος ᾖσεν· ἢ οὐ
δοκῶ σοι ἀληθῆ λέγειν, ὦ Ἴων;*

ΙΩΝ. *Ναὶ μὰ τὸν Δία, ἔμοιγε· ἅπτει γάρ πώς μου* 13
*τοῖς λόγοις τῆς ψυχῆς, ὦ Σώκρατες, καί μοι δοκοῦσι
θείᾳ μοίρᾳ ἡμῖν παρὰ τῶν θεῶν ταῦτα οἱ ἀγαθοὶ
ποιηταὶ ἑρμηνεύειν.*

ΣΩ. *Οὐκοῦν ὑμεῖς αὖ οἱ ῥαψῳδοὶ τὰ τῶν ποιητῶν
ἑρμηνεύετε;*

ΙΩΝ. *Καὶ τοῦτο ἀληθὲς λέγεις.*

ΣΩ. *Οὐκοῦν ἑρμηνέων ἑρμηνεῖς γίγνεσθε;*

ΙΩΝ. *Παντάπασί γε.*

ΣΩ. *Ἔχε δή μοι τόδε εἰπέ, ὦ Ἴων, καὶ μὴ ἀπο-* 14
*κρύψῃ, ὅ τι ἄν σε ἔρωμαι· ὅταν εὖ εἴπῃς ἔπη καὶ ἐκ-
πλήξῃς μάλιστα τοὺς θεωμένους, ἢ τὸν Ὀδυσσέα ὅταν
ἐπὶ τὸν οὐδὸν ἐφαλλόμενον ᾄδῃς, ἐκφανῆ γιγνόμενον
τοῖς μνηστῆρσι καὶ ἐκχέοντα τοὺς οἰστοὺς πρὸ τῶν
ποδῶν, ἢ Ἀχιλλέα ἐπὶ τὸν Ἕκτορα ὁρμῶντα, ἢ καὶ
τῶν περὶ Ἀνδρομάχην ἐλεεινῶν τι ἢ περὶ Ἑκάβην ἢ
περὶ Πρίαμον, τότε πότερον ἔμφρων εἶ, ἢ ἔξω σαυτοῦ
γίγνει καὶ παρὰ τοῖς πράγμασιν οἴεταί σου εἶναι ἡ
ψυχὴ οἷς λέγεις ἐνθουσιάζουσα, ἢ ἐν Ἰθάκῃ οὖσιν ἢ
ἐν Τροίᾳ ἢ ὅπως ἂν καὶ τὰ ἔπη ἔχῃ;*

ΙΩΝ. *Ὡς ἐναργές μοι τοῦτο, ὦ Σώκρατες, τὸ τε-* 15
*κμήριον εἶπες· οὐ γάρ σε ἀποκρυψάμενος ἐρῶ. ἐγὼ
γὰρ ὅταν ἐλεεινόν τι λέγω, δακρύων ἐμπίπλανταί μου
οἱ ὀφθαλμοί· ὅταν τε φοβερὸν ἢ δεινόν, ὀρθαὶ αἱ
τρίχες ἵστανται ὑπὸ φόβου καὶ ἡ καρδία πηδᾷ.*

ΣΩ. Τί οὖν; φῶμεν, ὦ Ἴων, ἔμφρονα εἶναι τοῦτον τὸν ἄνθρωπον, ὃς ἂν κεκοσμημένος ἐσθῆτι ποικίλῃ καὶ χρυσοῖς στεφάνοις κλάῃ τ' ἐν θυσίαις καὶ ἑορταῖς, μηδὲν ἀπολωλεκὼς τούτων, ἢ φοβῆται πλέον ἢ ἐν δισμυρίοις ἀνθρώποις ἑστηκὼς φιλίοις, μηδενὸς ἀποδύοντος μηδὲ ἀδικοῦντος;

16 ΙΩΝ. Οὐ μὰ τὸν Δία, οὐ πάνυ, ὦ Σώκρατες, ὥς γε τἀληθὲς εἰρῆσθαι.

ΣΩ. Οἶσθα οὖν ὅτι καὶ τῶν θεατῶν τοὺς πολλοὺς ταὐτὰ ταῦτα ὑμεῖς ἐργάζεσθε;

ΙΩΝ. Καὶ μάλα καλῶς οἶδα· καθορῶ γὰρ ἑκάστοτε αὐτοὺς ἄνωθεν ἀπὸ τοῦ βήματος κλάοντάς τε καὶ δεινὸν ἐμβλέποντας καὶ συνθαμβοῦντας τοῖς λεγομένοις. δεῖ γάρ με καὶ σφόδρ' αὐτοῖς τὸν νοῦν προσέχειν· ὡς ἐὰν μὲν κλάοντας αὐτοὺς καθίσω, αὐτὸς γελάσομαι ἀργύριον λαμβάνων, ἐὰν δὲ γελῶντας, αὐτὸς κλαύσομαι ἀργύριον ἀπολλύς.

17 ΣΩ. Οἶσθα οὖν ὅτι οὗτός ἐστιν ὁ θεατὴς τῶν δακτυλίων ὁ ἔσχατος, ὧν ἐγὼ ἔλεγον ὑπὸ τῆς Ἡρακλεώτιδος λίθου ἀπ' ἀλλήλων τὴν δύναμιν λαμβάνειν; ὁ δὲ μέσος σὺ ὁ ῥαψῳδὸς καὶ ὑποκριτής, ὁ δὲ πρῶτος αὐτὸς ὁ ποιητής· ὁ δὲ θεὸς διὰ πάντων τούτων ἕλκει τὴν ψυχὴν ὅποι ἂν βούληται τῶν ἀνθρώπων, ἀνακρεμαννὺς ἐξ ἀλλήλων τὴν δύναμιν. καὶ ὥσπερ ἐκ τῆς λίθου ἐκείνης ὁρμαθὸς πάμπολυς ἐξήρτηται χορευτῶν τε καὶ διδασκάλων καὶ ὑποδιδασκάλων, ἐκ πλαγίου ἐξηρτημένων τῶν τῆς Μούσης ἐκκρεμαμένων δακτυλίων.
18 καὶ ὁ μὲν τῶν ποιητῶν ἐξ ἄλλης Μούσης, ὁ δὲ ἐξ ἄλλης ἐξήρτηται· ὀνομάζομεν δὲ αὐτὸ 'κατέχεται'· τὸ δέ ἐστι παραπλήσιον· ἔχεται γάρ· ἐκ δὲ τούτων τῶν πρώτων δακτυλίων, τῶν ποιητῶν, ἄλλοι ἐξ ἄλλου αὖ ἠρ-

τημένοι εἰσὶ καὶ ἐνθουσιάζουσιν, οἱ μὲν ἐξ Ὀρφέως, οἱ δὲ ἐκ Μουσαίου· οἱ δὲ πολλοὶ ἐξ Ὁμήρου κατέχονταί τε καὶ ἔχονται. ὧν σύ, ὦ Ἴων, εἷς εἶ καὶ κατέχει 19
ἐξ Ὁμήρου, καὶ ἐπειδὰν μέν τίς τι ἄλλου του ποιητοῦ ᾄδῃ, καθεύδεις τε καὶ ἀπορεῖς ὅ τι λέγῃς, ἐπειδὰν δὲ τούτου τοῦ ποιητοῦ φθέγξηταί τις μέλος, εὐθὺς ἐγρήγορας καὶ ὀρχεῖταί σου ἡ ψυχὴ καὶ εὐπορεῖς ὅ τι λέγῃς· οὐ γὰρ τέχνῃ οὐδ' ἐπιστήμῃ περὶ Ὁμήρου λέγεις ἃ λέγεις, ἀλλὰ θείᾳ μοίρᾳ καὶ κατοκωχῇ· ὥσπερ οἱ κορυβαντιῶντες 20
ἐκείνου μόνου αἰσθάνονται τοῦ μέλους ὀξέως, ὃ ἂν ᾖ τοῦ θεοῦ ἐξ ὅτου ἂν κατέχωνται, καὶ εἰς ἐκεῖνο τὸ μέλος καὶ σχημάτων καὶ ῥημάτων εὐποροῦσι, τῶν δὲ ἄλλων οὐ φροντίζουσιν· οὕτω καὶ σύ, ὦ Ἴων, περὶ μὲν Ὁμήρου ὅταν τις μνησθῇ, εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων ἀπορεῖς· τούτου δ' ἐστὶ τὸ αἴτιον, ὅ μ' ἐρωτᾷς, δι' ὅ τι σὺ περὶ μὲν Ὁμήρου εὐπορεῖς, περὶ δὲ τῶν ἄλλων οὔ, ὅτι οὐ τέχνῃ ἀλλὰ θείᾳ μοίρᾳ Ὁμήρου δεινὸς εἶ ἐπαινέτης.

II. Arionem citharoedum a delphinis exceptum servatumque esse.

(Plutarch. septem sapient. convivium c. 17. 18. vid. fasc. IV p. 22.)

Narrat Nicarcho Diocles, qui convivio a Periandro apparato cum septem sapientibus aliisque multis ipse quoque interfuit.

Ἔτι τοῦ Σόλωνος λέγοντος εἰσῆλθε Γόργος ὁ Περι- 1
άνδρου ἀδελφός· ἐτύγχανε γὰρ εἰς Ταίναρον ἀπεσταλμένος ἔκ τινων χρησμῶν, τῷ Ποσειδῶνι θυσίαν καὶ θεωρίαν ἀπάγων· ἀσπασαμένων δ' αὐτὸν ἡμῶν καὶ τοῦ Περιάνδρου προσαγαγομένου καὶ φιλήσαντος, καθίσας παρ' αὐτὸν ἐπὶ τῆς κλίνης ἀπήγγειλεν ἄττα δὴ πρὸς μόνον ἐκεῖνον· ὁ δ' ἠκροᾶτο πολλὰ πάσχοντι

πρὸς τὸν λόγον ὅμοιος ὤν· τὰ μὲν γὰρ ἀχθόμενος, τὰ δ' ἀγανακτῶν ἐφαίνετο, πολλάκις δ' ἀπιστῶν, εἶτα θαυ-
2 μάζων· τέλος δὲ γελάσας πρὸς ἡμᾶς 'Βούλομαι μέν', ἔφη, 'πρὸς τὸ παρὸν φράσαι τὸ προσηγγελμένον· ὀκνῶ δ' ἀκούσας Θάλεώ ποτε εἰπόντος, ὅτι δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δ' ἀμήχανα σιωπᾶν.' ὑπολαβὼν οὖν ὁ Βίας ''Ἀλλὰ καὶ τοῦτ'', ἔφη, 'Θάλεω τὸ σοφόν ἐστιν, ὅτι δεῖ τοῖς μὲν ἐχθροῖς καὶ περὶ τῶν πιστῶν ἀπιστεῖν, τοῖς δὲ φίλοις καὶ τὰ ἄπιστα πιστεύειν, ἐχθροὺς μέν, ἔγωγ' ἡγοῦμαι, τοὺς πονηροὺς καὶ ἀνοήτους, φίλους δὲ τοὺς χρηστοὺς καὶ φρονίμους αὐτοῦ καλοῦντος.' ['Οὐκοῦν', ἔφη, 'λεκτέον εἰς ἅπαντας, ὦ Γόργε, μᾶλλον δ' ἀκτέον ἐπὶ τοὺς νέους τούτους διθυράμβους ὑπερφθεγγόμενον ὃν ἥκεις λόγον ἡμῖν κομίζων.']

3 Ἔφη τοίνυν Γόργος, ὅτι τῆς θυσίας ἐφ' ἡμέρας τρεῖς συντελεσθείσης ὑπ' αὐτοῦ καὶ τῇ τελευταίᾳ παννυχίδος οὔσης καὶ χορείας τινὸς καὶ παιδιᾶς πρὸς τὸν αἰγιαλὸν ἡ μὲν σελήνη κατέλαμπεν εἰς τὴν θάλατταν, οὐκ ὄντος δὲ πνεύματος ἀλλὰ νηνεμίας καὶ γαλήνης πόρρωθεν ἀφεωρᾶτο φρίκη κατιοῦσα παρὰ τὴν ἄκραν, ἀφρόν τινα καὶ ψόφον ἄγουσα τῷ ῥοθίῳ περὶ αὐτὴν πολύν, ὥστε πάντας ἐπὶ τὸν τόπον, οἷ προσβάλλειν
4 ἔμελλε, καταδραμεῖν θαυμάσαντας· πρὶν δ' εἰκάσαι τὸ προσφερόμενον ὑπὸ τάχους, δελφῖνες ὤφθησαν, οἱ μὲν ἀθρόοι πέριξ κυκλοῦντες, οἱ δ' ὑφηγούμενοι τοῦ αἰγιαλοῦ πρὸς τὸ λειότατον, ἄλλοι δ' ἐξόπισθεν, οἷον περιέποντες· ἐν μέσῳ δ' ἀνεῖχεν ὑπὲρ τῆς θαλάσσης ὄγκος ἀσαφὴς καὶ ἄσημος ὀχουμένου σώματος, μέχρι οὗ συναγαγόντες εἰς ταὐτὸ καὶ συνεποκείλαντες ἐξέθηκαν ἐπὶ γῆν ἄνθρωπον ἔμπνουν καὶ κινούμενον, αὐτοὶ δὲ πάλιν πρὸς τὴν ἄκραν ἀναφερόμενοι μᾶλλον

ἢ πρότερον ἐξήλαντο, παίζοντες ὑφ' ἡδονῆς τινος, ὡς
ἔοικε, καὶ σκιρτῶντες. "Ἡμῶν δέ', Γόργος ἔφη, 'πολλοὶ 5
μὲν διαταραχθέντες ἔφυγον ἀπὸ τῆς θαλάσσης, ὀλίγοι
δὲ μετ' ἐμοῦ θαρρήσαντες προσελθεῖν ἐγνώρισαν
Ἀρίονα τὸν κιθαρῳδόν, αὐτὸν τοὔνομα φθεγγόμενον
ἑαυτοῦ καὶ τῇ στολῇ καταφανῆ γενόμενον· τὸν γὰρ
ἐναγώνιον ἐτύγχανεν ἀμπεχόμενος κόσμον, ᾧ κιθαρῳ-
δῶν ἐχρῆτο. κομίσαντες οὖν ἐπὶ σκηνὴν αὐτόν, ὡς
οὐδὲν εἶχε κακὸν ἀλλ' ἢ διὰ τάχος καὶ ῥοῖζον ἐφαίνετο
τῆς φορᾶς ἐκλελυμένος καὶ κεκμηκώς, ἠκούσαμεν λόγον
ἄπιστον ἅπασι πλὴν ἡμῶν τῶν θεασαμένων τὸ τέλος:
ἔλεγε γὰρ Ἀρίων, ὡς πάλαι μὲν ἐγνωκὼς ἐκ τῆς Ἰτα- 6
λίας ἀπαίρειν, Περιάνδρου δὲ γράψαντος αὐτῷ προ-
θυμότερος γενόμενος, ὁλκάδος Κορινθίας παραφανείσης
εὐθὺς ἐπιβὰς ἀναχθείη, μετρίῳ δὲ πνεύματι χρωμένων
ἡμέρας τρεῖς αἴσθοιτο τοὺς ναύτας ἐπιβουλεύοντας
ἀνελεῖν αὐτόν, εἶτα καὶ παρὰ τοῦ κυβερνήτου πύθοιτο
κρύφα μηνύσαντος, ὡς τῇ νυκτὶ τοῦτο δρᾶν αὐτοῖς εἴη
δεδογμένον· ἔρημος οὖν ὢν βοηθείας καὶ ἀπορῶν ὁρμῇ 7
τινι χρήσαιτο δαιμονίῳ τὸ μὲν σῶμα κοσμῆσαι καὶ
λαβεῖν ἐντάφιον αὐτῷ τὸν ἐναγώνιον ἔτι ζῶν κόσμον,
ἐξᾷσαι δὲ τὸν βίον τελευτῶν καὶ μὴ γενέσθαι κατὰ
τοῦτο τῶν κύκνων ἀγεννέστερος· ἐσκευασμένος οὖν
καὶ προειπών, ὅτι προθυμία τις αὐτὸν ἔχοι τῶν νόμων
διελθεῖν τὸν Πυθικὸν ὑπὲρ σωτηρίας αὐτοῦ καὶ τῆς
νεὼς καὶ τῶν ἐμπλεόντων, καταστὰς παρὰ τὸν τοῖχον
ἐν πρύμνῃ καί τινα θεῶν πελαγίων ἀνάκλησιν προ-
ανακρουσάμενος ᾄδοι τὸν νόμον· καὶ ὅσον οὔπω με-
σοῦντος αὐτοῦ καταδύοιτο μὲν ὁ ἥλιος εἰς τὴν θάλατ-
ταν, ἀναφαίνοιτο δὲ ἡ Πελοπόννησος· οὐκέτ' οὖν τῶν 8
ναυτῶν τὴν νύκτα περιμενόντων, ἀλλὰ χωρούντων ἐπὶ

τὸν φόνον, ἰδὼν ξίφη γεγυμνωμένα καὶ παρακαλυπτό-
μενον ἤδη τὸν κυβερνήτην, ἀναδραμὼν ῥίψειεν ἑαυτὸν
9 ὡς δυνατὸν ἦν μάλιστα πόρρω τῆς ὁλκάδος· πρὶν δ'
ὅλον καταδῦναι τὸ σῶμα, δελφίνων ὑποδραμόντων
ἀναφέροιτο μεστὸς ὢν ἀπορίας καὶ ἀγωνίας καὶ ταρα-
χῆς τὸ πρῶτον· ἐπεὶ δὲ ῥαστώνη τῆς ὀχήσεως ἦν καὶ
πολλοὺς ἑώρα ἀθροιζομένους περὶ αὐτὸν εὐμενῶς καὶ
διαδεχομένους ὡς ἀναγκαῖον ἐν μέρει λειτούργημα καὶ
προσῆκον πᾶσιν, ἡ δ' ὁλκάς, ἀπολειφθεῖσα πόρρω, τοῦ
τάχους αἴσθησιν παρεῖχε, μήτε τοσοῦτον ἔφη δέους
πρὸς θάνατον αὐτῷ μήτ' ἐπιθυμίας τοῦ ζῆν ὅσον φι-
λοτιμίας ἐγγενέσθαι πρὸς τὴν σωτηρίαν, ὡς θεοφιλὴς
10 ἀνὴρ φανείη καὶ λάβοι περὶ θεῶν δόξαν βέβαιον· ἅμα
δὲ καθορῶν τὸν οὐρανὸν ἀστέρων περίπλεων καὶ τὴν
σελήνην ἀνίσχουσαν εὐφεγγῆ καὶ καθαράν, ἑστώσης δὲ
πάντῃ τῆς θαλάσσης ἀκύμονος, ὥσπερ τρίβον ἀνασχι-
ζόμενον τῷ δρόμῳ, διανοεῖσθαι πρὸς αὑτόν, ὡς οὐκ
ἔστιν εἷς ὁ τῆς Δίκης ὀφθαλμός, ἀλλὰ πᾶσι τούτοις
ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περὶ γῆν τε καὶ
θάλατταν· τούτοις δὲ δὴ τοῖς λογισμοῖς ἔφη τὸ κάμνον
αὐτῷ καὶ βαρυνόμενον ἤδη τοῦ σώματος ἀναφέρεσθαι,
καὶ τέλος, ἐπεὶ τῆς ἄκρας ἀπαντώσης ἀποτόμου καὶ
ὑψηλῆς εὖ πως φυλαξάμενοι καὶ κάμψαντες ἐν χρῷ
παρενήχοντο τῆς γῆς ὥσπερ εἰς λιμένα σκάφος ἀσφαλῶς
κατάγοντες, παντάπασιν αἰσθέσθαι θεοῦ κυβερνήσει
11 γεγονέναι τὴν κομιδήν. ταῦτα', ὁ Γόργος ἔφη, 'τοῦ
'Αρίονος εἰπόντος ἠρόμην αὐτόν, ὅπου τὴν ναῦν οἴεται
κατασχήσειν· ὁ δὲ πάντως μὲν εἰς Κόρινθον, πολὺ
μέντοι καθυστερεῖν· αὐτὸν γὰρ ἑσπέρας ἐκπεσόντα πεν-
τακοσίων οὐ μεῖον οἴεσθαι δρόμον σταδίων κομισθῆναι,
καὶ γαλήνην εὐθὺς κατασχεῖν.' οὐ μὴν ἀλλ' ἑαυτὸν ὁ

Γόργος ἔφη πυθόμενον τοῦ τε ναυκλήρου τοὔνομα καὶ τοῦ κυβερνήτου καὶ τῆς νεὼς τὸ παράσημον ἐκπέμψαι πλοῖα καὶ στρατιώτας ἐπὶ τὰς κατάρσεις παραφυλάξοντας· τὸν δ' Ἀρίονα μετ' αὐτοῦ κομίζειν ἀποκεκρυμμένον, ὅπως μὴ προαισθόμενοι τὴν σωτηρίαν διαφύγοιεν· ὄντως οὖν ἐοικέναι θείᾳ τύχῃ τὸ πρᾶγμα· παρεῖναι γὰρ αὐτοὺς ἅμα δεῦρο καὶ πυνθάνεσθαι τῆς νεὼς κεκρατημένης ὑπὸ τῶν στρατιωτῶν συνειλῆφθαι τοὺς ἐμπόρους καὶ ναύτας.

III. Socrates apud iudices demonstrat se nec urbis deos neglexisse nec novos deos intulisse nec adulescentes corrupisse.

(Xenophontis quae fertur apologiae 2, 10—27. cf. fasc. II p. 41.)

Ἑρμογένης ὁ Ἱππονίκου ἑταῖρός τε ἦν Σωκράτει 1
καὶ ἐξήγγειλε περὶ αὐτοῦ τοιαῦτα, ὥστε πρέπουσαν φαίνεσθαι τὴν μεγαληγορίαν αὐτοῦ τῇ διανοίᾳ. ἐπειδὴ γὰρ κατηγόρησαν αὐτοῦ οἱ ἀντίδικοι, ὡς οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζοι, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέροι καὶ τοὺς νέους διαφθείροι, παρελθόντα εἰπεῖν αὐτόν· "Ἀλλ' ἐγώ, ὦ ἄνδρες, τοῦτο μὲν πρῶτον θαυμάζω Μελήτου, ὅτῳ ποτὲ γνοὺς λέγει, ὡς ἐγὼ οὓς ἡ πόλις νομίζει θεοὺς οὐ νομίζω· ἐπεὶ θύοντά γέ με ἐν ταῖς κοιναῖς ἑορταῖς καὶ ἐπὶ τῶν δημοσίων βωμῶν καὶ οἱ ἄλλοι οἱ παρατυγχάνοντες ἑώρων καὶ αὐτὸς Μέλητος, εἰ ἠβούλετο. καινά γε μὴν δαιμόνια πῶς 2
ἂν ἐγὼ εἰσφέροιμι λέγων, ὅτι θεοῦ μοι φωνὴ φαίνεται σημαίνουσα, ὅ τι χρὴ ποιεῖν; καὶ γὰρ οἱ φθόγγοις οἰωνῶν καὶ οἱ φήμαις ἀνθρώπων χρώμενοι φωναῖς δήπου τεκμαίρονται. βροντὰς δὲ ἀμφιλέξει τις ἢ μὴ φωνεῖν

ἢ μὴ μέγιστον οἰωνιστήριον εἶναι; ἡ δὲ Πυθοῖ ἐν τῷ τρίποδι ἱέρεια οὐ καὶ αὐτὴ φωνῇ τὰ παρὰ τοῦ θεοῦ διαγγέλλει; ἀλλὰ μέντοι καὶ τὸ προειδέναι γε τὸν θεὸν τὸ μέλλον καὶ τὸ προσημαίνειν ᾧ βούλεται, καὶ τοῦτο, ὥσπερ ἐγώ φημι, οὕτω πάντες καὶ λέγουσι καὶ νομί-
3 ζουσιν. ἀλλ' οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ συμβόλους τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι, ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ, καὶ οἶμαι οὕτως ὀνομάζων καὶ ἀληθέστερα καὶ ὁσιώτερα λέγειν τῶν τοῖς ὄρνισιν ἀνατιθέντων τὴν τῶν θεῶν δύναμιν. ὥς γε μὴν οὐ ψεύδομαι κατὰ τοῦ θεοῦ, καὶ τοῦτ' ἔχω τεκμήριον· καὶ γὰρ τῶν φίλων πολλοῖς δὴ ἐξαγγείλας τὰ τοῦ θεοῦ συμβουλεύματα οὐδεπώποτε ψευσάμενος
4 ἐφάνην.' ἐπεὶ δὲ ταῦτ' ἀκούοντες οἱ δικασταὶ ἐθορύβουν, οἱ μὲν ἀπιστοῦντες τοῖς λεγομένοις, οἱ δὲ καὶ φθονοῦντες, εἰ καὶ παρὰ θεῶν μειζόνων ἢ αὐτοὶ τυγχάνοι, πάλιν εἰπεῖν τὸν Σωκράτην· '"Αγε δὴ ἀκούσατε καὶ ἄλλα, ἵνα ἔτι μᾶλλον οἱ βουλόμενοι ὑμῶν ἀπιστῶσι τῷ ἐμὲ τετιμῆσθαι ὑπὸ δαιμόνων. Χαιρεφῶντος γάρ ποτε ἐπερωτῶντος ἐν Δελφοῖς περὶ ἐμοῦ πολλῶν παρόντων ἀνεῖλεν ὁ Ἀπόλλων μηδένα εἶναι ἀνθρώπων ἐμοῦ μήτε ἐλευθεριώτερον μήτε δικαιότερον μήτε σω-
5 φρονέστερον.' ὡς δ' αὖ ταῦτ' ἀκούσαντες οἱ δικασταὶ ἔτι μᾶλλον ἐθορύβουν εἰκότως, αὖθις εἰπεῖν τὸν Σωκράτην· 'Ἀλλὰ μείζω μέν, ὦ ἄνδρες, εἶπεν ὁ θεὸς ἐν χρησμοῖς περὶ Λυκούργου τοῦ Λακεδαιμονίοις νομοθετήσαντος ἢ περὶ ἐμοῦ. λέγεται γὰρ εἰς τὸν ναὸν εἰσιόντα προσειπεῖν αὐτόν· "Φροντίζω, πότερα θεόν σε εἴπω ἢ ἄνθρωπον." ἐμὲ δὲ θεῷ μὲν οὐκ εἴκασεν, ἀνθρώπων δὲ πολλῷ προέκρινεν ὑπερφέρειν. ὅμως δὲ ὑμεῖς μηδὲ ταῦτα εἰκῇ πιστεύσητε τῷ θεῷ, ἀλλὰ καθ'

ἓν ἕκαστον ἐπισκοπεῖτε ὧν εἶπεν ὁ θεός. τίνα μὲν γὰρ 6
ἐπίστασθε ἧττον ἐμοῦ δουλεύοντα ταῖς τοῦ σώματος
ἐπιθυμίαις; τίνα δὲ ἀνθρώπων ἐλευθεριώτερον, ὃς παρ'
οὐδενὸς οὔτε δῶρα οὔτε μισθὸν δέχομαι; δικαιότερον
δὲ τίνα ἂν εἰκότως νομίσαιτε τοῦ πρὸς τὰ παρόντα
συνηρμοσμένου, ὡς τῶν ἀλλοτρίων μηδενὸς προσδεῖ-
σθαι; σοφὸν δὲ πῶς οὐκ ἄν τις εἰκότως ἄνδρα φήσειεν
εἶναι, ὃς ἐξ ὅτουπερ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην,
οὐπώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ τι ἐδυ-
νάμην ἀγαθόν; ὡς δὲ οὐ μάτην ἐπόνουν, οὐ δοκεῖ ὑμῖν 7
καὶ τάδε τεκμήρια εἶναι, τὸ πολλοὺς μὲν πολίτας τῶν
ἀρετῆς ἐφιεμένων, πολλοὺς δὲ ξένων, ἐκ πάντων προ-
αιρεῖσθαι ἐμοὶ ξυνεῖναι; ἐκείνου δὲ τί φήσομεν αἴτιον
εἶναι, τοῦ πάντας εἰδέναι, ὅτι ἐγὼ ἥκιστ' ἂν ἔχοιμι
χρήματα ἀντιδιδόναι, ὅμως πολλοὺς ἐπιθυμεῖν ἐμοί τι
δωρεῖσθαι; τὸ δ' ἐμὲ μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι
εὐεργεσίαν, ἐμοὶ δὲ πολλοὺς ὁμολογεῖν χάριτας ὀφεί-
λειν; τὸ δ' ἐν τῇ πολιορκίᾳ τοὺς μὲν ἄλλους οἰκτίρειν 8
ἑαυτούς, ἐμὲ δὲ μηδὲν ἀπορώτερον διάγειν ἢ ὅτε τὰ
μάλιστα ἡ πόλις εὐδαιμόνει; τὸ δὲ τοὺς ἄλλους μὲν
τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς πορίζεσθαι,
ἐμὲ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους ἐκείνων
μηχανᾶσθαι; εἴ γε μήν, ὅσα εἴρηκα περὶ ἐμαυτοῦ, μη-
δεὶς δύναιτ' ἂν ἐξελέγξαι με ὡς ψεύδομαι, πῶς οὐκ
ἂν ἤδη δικαίως καὶ ὑπὸ θεῶν καὶ ὑπ' ἀνθρώπων
ἐπαινοίμην; ἀλλ' ὅμως σύ με φῄς, ὦ Μέλητε, τοιαῦτα 9
ἐπιτηδεύοντα τοὺς νέους διαφθείρειν; καίτοι ἐπιστά-
μεθα μὲν δήπου, τίνες εἰσὶ νέων διαφθοραί· σὺ δὲ
εἰπέ, εἴ τινα οἶσθα ὑπ' ἐμοῦ γεγενημένον ἢ ἐξ εὐσε-
βοῦς ἀνόσιον ἢ ἐκ σώφρονος ὑβριστὴν ἢ ἐξ εὐδιαίτου
πολυδάπανον ἢ ἐκ μετριοπότου οἰνόφλυγα ἢ ἐκ φιλο-

πόνου μαλακὸν ἢ ἄλλης πονηρᾶς ἡδονῆς ἡττημένον.' ''Ἀλλὰ ναὶ μὰ Δί'', ἔφη ὁ Μέλητος, 'ἐκείνους οἶδα, οὓς σὺ πέπεικας σοὶ πείθεσθαι μᾶλλον ἢ τοῖς γειναμένοις.'
10 ''Ὁμολογῶ', φάναι τὸν Σωκράτην, 'περί γε παιδείας· τοῦτο γὰρ ἴσασιν ἐμοὶ μεμεληκός. περὶ δὲ ὑγιείας τοῖς ἰατροῖς μᾶλλον οἱ ἄνθρωποι πείθονται ἢ τοῖς γονεῦσι· καὶ ἐν ταῖς ἐκκλησίαις γε πάντως οἱ Ἀθηναῖοι πάντες δήπου τοῖς φρονιμώτατα λέγουσι πείθονται μᾶλλον ἢ τοῖς προσήκουσιν. οὐ γὰρ δὴ καὶ στρατηγοὺς αἱρεῖσθε καὶ πρὸ πατέρων καὶ πρὸ ἀδελφῶν, καὶ ναὶ μὰ Δία γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, οὓς ἂν ἡγῆσθε περὶ τῶν πολεμικῶν φρονιμωτάτους εἶναι;'
11 'Οὕτω γάρ', φάναι τὸν Μέλητον, 'ὦ Σώκρατες, καὶ συμφέρει καὶ νομίζεται.' 'Οὔκουν', εἰπεῖν τὸν Σωκράτην, 'θαυμαστὸν καὶ τοῦτό σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι μὴ μόνον ἰσομοιρίας τυγχάνειν τοὺς κρατίστους, ἀλλὰ καὶ προτετιμῆσθαι, ἐμὲ δέ, ὅτι περὶ τοῦ μεγίστου ἀγαθοῦ ἀνθρώποις, περὶ παιδείας, βέλτιστος εἶναι ὑπό τινων προκρίνομαι, τούτου ἕνεκα θανάτου ὑπὸ σοῦ διώκεσθαι;'

II Ἐρρήθη μὲν δῆλον ὅτι τούτων πλείονα ὑπό τε αὐτοῦ καὶ τῶν συναγορευόντων φίλων αὐτῷ. ἀλλ' ἐγὼ οὐ τὰ πάντα εἰπεῖν τὰ ἐκ τῆς δίκης ἐσπούδασα, ἀλλ' ἤρκεσέ μοι δηλῶσαι, ὅτι Σωκράτης τὸ μὲν μήτε περὶ θεοὺς ἀσεβῆσαι μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς ἐποιεῖτο, τὸ δὲ μὴ ἀποθανεῖν οὐκ ᾤετο λιπαρητέον εἶναι, ἀλλὰ καὶ καιρὸν ἤδη ἐνόμιζεν
2 ἑαυτῷ τελευτᾶν. ὅτι δὲ οὕτως ἐγίγνωσκε, καταδηλότερον ἐγίγνετο, ἐπειδὴ ἡ δίκη κατεψηφίσθη. πρῶτον μὲν γὰρ κελευόμενος ὑποτιμᾶσθαι οὔτε αὐτὸς ὑπετιμήσατο οὔτε τοὺς φίλους εἴασεν, ἀλλὰ καὶ ἔλεγεν, ὅτι

τὸ ὑποτιμᾶσθαι ὁμολογοῦντος εἴη ἀδικεῖν. ἔπειτα τῶν ἑταίρων ἐκκλέψαι βουλομένων αὐτὸν οὐκ ἐφείπετο, ἀλλὰ καὶ ἐπισκῶψαι ἐδόκει, ἐρόμενος εἴ που εἰδεῖέν τι χωρίον ἔξω τῆς Ἀττικῆς, ἔνθα οὐ προσβατὸν θανάτῳ.

Ὡς δὲ τέλος εἶχεν ἡ δίκη, εἰπεῖν αὐτόν· 'Ἀλλ', III
ὦ ἄνδρες, τοὺς μὲν διδάσκοντας τοὺς μάρτυρας, ὡς χρὴ ἐπιορκοῦντας καταψευδομαρτυρεῖν ἐμοῦ, καὶ τοὺς πειθομένους τούτοις ἀνάγκη ἐστὶ πολλὴν ἑαυτοῖς συνειδέναι ἀσέβειαν καὶ ἀδικίαν· ἐμοὶ δὲ τί προσήκει νῦν μεῖον φρονεῖν ἢ πρὶν κατακριθῆναι, μηδὲν ἐλεγχθέντι, ὡς πεποίηκά τι ὧν ἐγράψατό με; οὔτε γὰρ ἔγωγε ἀντὶ Διὸς καὶ Ἥρας καὶ τῶν σὺν τούτοις θεῶν οὔτε θύων τισὶ καινοῖς δαίμοσιν οὔτε ὀμνὺς οὔτε νομίζων ἄλλους θεοὺς ἀναπέφηνα. τούς γε μὴν νέους πῶς ἂν δια- 2
φθείροιμι, καρτερίαν καὶ εὐτέλειαν προσεθίζων; ἐφ' οἷς γε μὴν ἔργοις κεῖται θάνατος ἡ ζημία, ἱεροσυλίᾳ, τοιχωρυχίᾳ, ἀνδραποδίσει, πόλεως προδοσίᾳ, οὐδ' αὐτοὶ οἱ ἀντίδικοι τούτων πρᾶξαί τι κατ' ἐμοῦ φασιν. ὥστε θαυμαστὸν ἔμοιγε δοκεῖ εἶναι, ὅπως ποτὲ ἐφάνη ὑμῖν τοῦ θανάτου ἔργον ἄξιον ἐμοὶ εἰργασμένον. ἀλλ' οὐδὲ μέντοι ὅτι ἀδίκως ἀποθνήσκω, διὰ τοῦτο μεῖον φρονητέον· οὐ γὰρ ἐμοὶ ἀλλὰ τοῖς καταγνοῦσι τοῦτο αἰσχρόν ἐστι. παραμυθεῖται δ' ἔτι με καὶ Παλαμήδης 3
ὁ παραπλησίως ἐμοὶ τελευτήσας· ἔτι γὰρ καὶ νῦν πολὺ καλλίους ὕμνους παρέχεται Ὀδυσσέως τοῦ ἀδίκως ἀποκτείναντος αὐτόν· οἶδ' ὅτι καὶ ἐμοὶ μαρτυρήσεται ὑπό τε τοῦ ἐπιόντος καὶ ὑπὸ τοῦ παρεληλυθότος χρόνου, ὅτι ἠδίκησα μὲν οὐδένα πώποτε οὐδὲ πονηρότερον ἐποίησα, εὐεργέτουν δὲ τοὺς ἐμοὶ διαλεγομένους προῖκα διδάσκων ὅ τι ἐδυνάμην ἀγαθόν.' Εἰπὼν δὲ

ταῦτα μάλα ὁμολογουμένως δὴ τοῖς εἰρημένοις ἀπῄει καὶ ὄμμασι καὶ σχήματι καὶ βαδίσματι φαιδρός.

IV. Cur Socrates mortem damnatione sibi oblatam perpeti quam diutius vitam degere maluerit.

(Xenoph. memor. IV 8, 1—11. cf. fasc. II p. 41.)

1 *Εἴ τις, ὅτι φάσκοντος Σωκράτους τὸ δαιμόνιον
ἑαυτῷ προσημαίνειν, ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν,
ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν
ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω
πρῶτον μέν, ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας
ἦν, ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τε-
2 λευτῆσαι τὸν βίον· εἶτα ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ
βίου καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται ἀπέλιπεν,
ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος
εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώ-
πων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα
εἰπὼν καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ
ἀνδρωδέστατ' ἐνεγκών. ὁμολογεῖται γὰρ οὐδένα πω
τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγ-
3 κεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν
τριάκοντα ἡμέρας βιῶναι διὰ τὸ Δήλια μὲν ἐκείνου
τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ
ἀποθνήσκειν, ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ,
καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς
ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν
χρόνον· καίτοι τὸν ἔμπροσθέν γε πάντων ἀνθρώπων
μάλιστ' ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως
4 ζῆν. Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα
περὶ αὐτοῦ. ἔφη γάρ, ἤδη Μελήτου γεγραμμένου αὐ-*

τὸν τὴν γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον
ἢ περὶ τῆς δίκης διαλεγομένου λέγειν αὐτῷ, ὡς χρὴ
σκοπεῖν, ὅ τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον
εἰπεῖν· 'Οὐ γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέ-
ναι;' ἐπεὶ δ' αὐτὸν ἤρετο, ὅπως, εἰπεῖν αὐτόν, ὅτι
οὐδὲν ἄλλο ποιῶν διαγεγένηται ἢ διασκοπῶν μὲν τά
τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια καὶ τῶν
ἀδίκων ἀπεχόμενος, ἥνπερ νομίζοι καλλίστην μελέτην
ἀπολογίας εἶναι. αὐτὸς δὲ πάλιν εἰπεῖν· 'Οὐχ ὁρᾷς, 5
ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν
ἤδη μηδὲν ἀδικοῦντας λόγῳ παραχθέντες ἀπέκτειναν,
πολλοὺς δ' ἀδικοῦντας ἀπέλυσαν;' 'Ἀλλὰ νὴ τὸν Δία',
φάναι αὐτόν, 'ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος
φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας ἠναντιώθη
τὸ δαιμόνιον.' καὶ αὐτὸς εἰπεῖν· 'Θαυμαστὰ λέγεις.'
τὸν δέ· 'Θαυμάζεις', φάναι, 'εἰ τῷ θεῷ δοκεῖ βέλτιον 6
εἶναι ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ', ὅτι μέχρι
μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην
ἂν οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα
μὲν γὰρ οἶμαι ζῆν τοὺς μάλιστα ἐπιμελομένους τοῦ
ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰ-
σθανομένους, ὅτι βελτίους γίγνονται. ἃ ἐγὼ μέχρι 7
τοῦδε τοῦ χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα,
καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων καὶ πρὸς τοὺς
ἄλλους παραθεωρῶν ἐμαυτὸν οὕτω διατετέλεκα περὶ
ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ
οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν,
οὐ διὰ τὸ φιλεῖν ἐμέ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες
οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διόπερ
καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνε-
σθαι. εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον 8

ταῦτα μάλα ὁμολογουμένως δὴ τοῖς εἰρημένοις ἀπήει καὶ ὄμμασι καὶ σχήματι καὶ βαδίσματι φαιδρός.

IV. Cur Socrates mortem damnatione sibi oblatam perpeti quam diutius vitam degere maluerit.

(Xenoph. memor. IV 8, 1—11. cf. fasc. II p. 41.)

1 Εἴ τις, ὅτι φάσκοντος Σωκράτους τὸ δαιμόνιον
ἑαυτῷ προσημαίνειν, ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν,
ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν
ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω
πρῶτον μέν, ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας
ἦν, ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τε-
2 λευτῆσαι τὸν βίον· εἶτα ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ
βίου καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται ἀπέλιπεν,
ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος
εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώ-
πων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα
εἰπὼν καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ
ἀνδρωδέστατ' ἐνεγκών. ὁμολογεῖται γὰρ οὐδένα πω
τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγ-
3 κεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν
τριάκοντα ἡμέρας βιῶναι διὰ τὸ Δήλια μὲν ἐκείνου
τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ
ἀποθνήσκειν, ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ,
καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς
ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν
χρόνον· καίτοι τὸν ἔμπροσθέν γε πάντων ἀνθρώπων
μάλιστ' ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως
4 ζῆν. Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα
περὶ αὐτοῦ. ἔφη γάρ, ἤδη Μελήτου γεγραμμένου αὐ-

*τὸν τὴν γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον
ἢ περὶ τῆς δίκης διαλεγομένου λέγειν αὐτῷ, ὡς χρὴ
σκοπεῖν, ὅ τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον
εἰπεῖν· ‘Οὐ γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέ-
ναι;’ ἐπεὶ δ’ αὐτὸν ἤρετο, ὅπως, εἰπεῖν αὐτόν, ὅτι
οὐδὲν ἄλλο ποιῶν διαγεγένηται ἢ διασκοπῶν μὲν τά
τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια καὶ τῶν
ἀδίκων ἀπεχόμενος, ἥνπερ νομίζοι καλλίστην μελέτην
ἀπολογίας εἶναι. αὐτὸς δὲ πάλιν εἰπεῖν· ‘Οὐχ ὁρᾷς,* 5
*ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν
ἤδη μηδὲν ἀδικοῦντας λόγῳ παραχθέντες ἀπέκτειναν,
πολλοὺς δ’ ἀδικοῦντας ἀπέλυσαν;’ ‘Ἀλλὰ νὴ τὸν Δία’,
φάναι αὐτόν, ‘ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος
φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας ἠναντιώθη
τὸ δαιμόνιον.’ καὶ αὐτὸς εἰπεῖν· ‘Θαυμαστὰ λέγεις.’
τὸν δέ· ‘Θαυμάζεις’, φάναι, ‘εἰ τῷ θεῷ δοκεῖ βέλτιον* 6
*εἶναι ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ’, ὅτι μέχρι
μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην
ἂν οὔτε βέλτιον οὔθ’ ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα
μὲν γὰρ οἶμαι ζῆν τοὺς μάλιστα ἐπιμελομένους τοῦ
ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰ-
σθανομένους, ὅτι βελτίους γίγνονται. ἃ ἐγὼ μέχρι* 7
*τοῦδε τοῦ χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα,
καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων καὶ πρὸς τοὺς
ἄλλους παραθεωρῶν ἐμαυτὸν οὕτω διατετέλεκα περὶ
ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ
οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν,
οὐ διὰ τὸ φιλεῖν ἐμέ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες
οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διόπερ
καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνε-
σθαι. εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον* 8

ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον καὶ διανοεῖσθαι χεῖρον καὶ δυσμαθέστερον ἀποβαίνειν καὶ ἐπιλησμονέστερον, καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρω γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέ-
9 στερον ζῆν; ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο· εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν τὸ ἑτέρους μὴ δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι; ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τ' ἀδικησάντων καὶ τῶν ἀδικη-
10 θέντων. οἶδα δ', ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν· οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτ' ἀνθρώπων οὐδὲ χείρω ἐποίησα, βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας.' Τοιαῦτα μὲν πρὸς Ἑρμογένη τε διε-
11 λέχθη καὶ πρὸς τοὺς ἄλλους. τῶν δὲ Σωκράτη γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ τοιοῦτος ὤν, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δέ, ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους αὐτῷ, ἐγκρατὴς δέ, ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δέ, ὥστε μὴ διαμαρτάνειν κρίνων
12 τὰ βελτίω καὶ τὰ χείρω μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλ'

αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐλέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν, ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός τ' ἀνὴρ καὶ εὐδαιμονέστατος.

V. Parabole de antro inferno.

(Platon. rep. VII p. 514 A—517 A. cf. fasc. II p. 3.)

Postquam de summi boni cognitione variisque cognitionis gradibus disputatum est, Socrates ut Glauconi rationem humanae scientiae vel ignorantiae illustret, imagine utitur ab antro inferno ducta.

'Μετὰ ταῦτα δή', εἶπον, 'ἀπείκασον τοιούτῳ πάθει 1
τὴν ἡμετέραν φύσιν παιδείας τε πέρι καὶ ἀπαιδευσίας. ἰδὲ γὰρ ἀνθρώπους οἷον ἐν καταγείῳ οἰκήσει σπηλαιώδει, ἀναπεπταμένην πρὸς τὸ φῶς τὴν εἴσοδον ἐχούσῃ μακρὰν παρ' ἅπαν τὸ σπήλαιον, ἐν ταύτῃ ἐκ παίδων ὄντας ἐν δεσμοῖς καὶ τὰ σκέλη καὶ τοὺς αὐχένας, ὥστε μένειν τε αὐτοῦ εἴς τε τὸ πρόσθεν μόνον ὁρᾶν, κύκλῳ δὲ τὰς κεφαλὰς ὑπὸ τοῦ δεσμοῦ ἀδυνάτους περιάγειν, φῶς δὲ αὐτοῖς πυρὸς ἄνωθεν καὶ πόρρωθεν καόμενον ὄπισθεν αὐτῶν, μεταξὺ δὲ τοῦ πυρὸς καὶ τῶν δεσμωτῶν ἐπάνω ὁδόν, παρ' ἣν ἰδὲ τειχίον παρῳκοδομημένον, ὥσπερ τοῖς θαυματοποιοῖς πρὸ τῶν ἀνθρώπων πρόκειται τὰ παραφράγματα, ὑπὲρ ὧν τὰ θαύματα δεικνύασιν.' 'Ὁρῶ', ἔφη. 'Ὅρα τοίνυν παρὰ τοῦτο τὸ 2
τειχίον φέροντας ἀνθρώπους σκεύη τε παντοδαπὰ ὑπερέχοντα τοῦ τειχίου καὶ ἀνδριάντας καὶ ἄλλα ζῷα λίθινά τε καὶ ξύλινα καὶ παντοῖα εἰργασμένα, οἷον εἰκός, τοὺς μὲν φθεγγομένους, τοὺς δὲ σιγῶντας τῶν παρα-

φερόντων.' '"Ατοπον', ἔφη, 'λέγεις εἰκόνα καὶ δεσμώ-
3 τας ἀτόπους.' 'Ὁμοίους ἡμῖν', ἦν δ' ἐγώ· 'τοὺς γὰρ
τοιούτους πρῶτον μὲν ἑαυτῶν τε καὶ ἀλλήλων οἴει ἄν
τι ἑωρακέναι ἄλλο πλὴν τὰς σκιὰς τὰς ὑπὸ τοῦ πυρὸς
εἰς τὸ καταντικρὺ αὐτῶν τοῦ σπηλαίου προσπιπτούσας;'
'Πῶς γάρ', ἔφη, 'εἰ ἀκινήτους γε τὰς κεφαλὰς ἔχειν
ἠναγκασμένοι εἶεν διὰ βίου;' 'Τί δὲ τῶν παραφερο-
μένων; οὐ ταὐτὸν τοῦτο;' 'Τί μήν;' 'Εἰ οὖν δια-
λέγεσθαι οἷοί τ' εἶεν πρὸς ἀλλήλους, οὐ ταὐτὰ ἡγεῖ
ἂν τὰ παριόντα αὐτοὺς νομίζειν ὀνομάζειν, ἅπερ ὁρῷεν;'
4 ''Ανάγκη.' 'Τί δ'; εἰ καὶ ἠχὼ τὸ δεσμωτήριον ἐκ τοῦ
καταντικρὺ ἔχοι, ὁπότε τις τῶν παριόντων φθέγξαιτο,
οἴει ἂν ἄλλο τι αὐτοὺς ἡγεῖσθαι τὸ φθεγγόμενον ἢ
τὴν παριοῦσαν σκιάν;' 'Μὰ Δί' οὐκ ἔγωγ'', ἔφη.
'Παντάπασι δή', ἦν δ' ἐγώ, 'οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο
τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς.'
5 'Πολλὴ ἀνάγκη', ἔφη. 'Σκόπει δή', ἦν δ' ἐγώ, 'αὐτῶν
λύσιν τε καὶ ἴασιν τῶν δεσμῶν καὶ τῆς ἀφροσύνης,
οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε ξυμβαίνοι αὐτοῖς· ὁπότε
τις λυθείη καὶ ἀναγκάζοιτο ἐξαίφνης ἀνίστασθαί τε καὶ
περιάγειν τὸν αὐχένα καὶ βαδίζειν καὶ πρὸς τὸ φῶς
ἀναβλέπειν, πάντα δὲ ταῦτα ποιῶν ἀλγοῖ τε καὶ διὰ
τὰς μαρμαρυγὰς ἀδυνατοῖ καθορᾶν ἐκεῖνα, ὧν τότε
τὰς σκιὰς ἑώρα, τί ἂν οἴει αὐτὸν εἰπεῖν, εἴ τις αὐτῷ
λέγοι, ὅτι τότε μὲν ἑώρα φλυαρίας, νῦν δὲ μᾶλλόν τι
ἐγγυτέρω τοῦ ὄντος καὶ πρὸς μᾶλλον ὄντα τετραμμένος
ὀρθότερα βλέποι, καὶ δὴ καὶ ἕκαστον τῶν παριόντων
δεικνὺς αὐτῷ ἀναγκάζοι ἐρωτῶν ἀποκρίνεσθαι ὅ τι
ἔστιν; οὐκ οἴει αὐτὸν ἀπορεῖν τε ἂν καὶ ἡγεῖσθαι τὰ
τότε ὁρώμενα ἀληθέστερα ἢ τὰ νῦν δεικνύμενα;'
6 'Πολύ γ'', ἔφη. 'Οὐκοῦν κἂν εἰ πρὸς αὐτὸ τὸ φῶς

ἀναγκάζοι αὐτὸν βλέπειν, ἀλγεῖν τε ἂν τὰ ὄμματα καὶ φεύγειν ἀποστρεφόμενον πρὸς ἐκεῖνα, ἃ δύναται καθορᾶν, καὶ νομίζειν ταῦτα τῷ ὄντι σαφέστερα τῶν δεικνυμένων;' 'Οὕτως', ἔφη. 'Εἰ δέ', ἦν δ' ἐγώ, 'ἐντεῦθεν ἕλκοι τις αὐτὸν βίᾳ διὰ τραχείας τῆς ἀναβάσεως καὶ ἀνάντους καὶ μὴ ἀνείη, πρὶν ἐξελκύσειεν εἰς τὸ τοῦ ἡλίου φῶς, ἆρα οὐχὶ ὀδυνᾶσθαί τε ἂν καὶ ἀγανακτεῖν ἑλκόμενον, καὶ ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι, αὐγῆς ἂν ἔχοντα τὰ ὄμματα μεστὰ ὁρᾶν οὐδ' ἂν ἓν δύνασθαι τῶν νῦν λεγομένων ἀληθῶν;' 'Οὐ γὰρ ἄν', ἔφη, 'ἐξαίφνης γε.' 'Συνηθείας δή, οἶμαι, 7
δέοιτ' ἄν, εἰ μέλλοι τὰ ἄνω ὄψεσθαι· καὶ πρῶτον μὲν τὰς σκιὰς ἂν ῥᾷστα καθορῷ, καὶ μετὰ τοῦτο ἐν τοῖς ὕδασι τά τε τῶν ἀνθρώπων καὶ τὰ τῶν ἄλλων εἴδωλα, ὕστερον δὲ αὐτά· ἐκ δὲ τούτων τὰ ἐν τῷ οὐρανῷ καὶ αὐτὸν τὸν οὐρανὸν νύκτωρ ἂν ῥᾷον θεάσαιτο, προσβλέπων τὸ τῶν ἄστρων τε καὶ σελήνης φῶς, ἢ μεθ' ἡμέραν τὸν ἥλιόν τε καὶ τὸ τοῦ ἡλίου.' 'Πῶς δ' οὔ;'
'Τελευταῖον δή, οἶμαι, τὸν ἥλιον, οὐκ ἐν ὕδασιν οὐδ' 8
ἐν ἀλλοτρίᾳ ἕδρᾳ φαντάσματα αὐτοῦ, ἀλλ' αὐτὸν καθ' αὑτὸν ἐν τῇ αὑτοῦ χώρᾳ δύναιτ' ἂν κατιδεῖν καὶ θεάσασθαι οἷός ἐστιν.' ''Αναγκαῖον', ἔφη. 'Καὶ μετὰ ταῦτ' ἂν ἤδη συλλογίζοιτο περὶ αὐτοῦ, ὅτι αὐτὸς ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτοὺς καὶ πάντα ἐπιτροπεύων τὰ ἐν τῷ ὁρωμένῳ τόπῳ, καὶ ἐκείνων, ὧν σφεῖς ἑώρων, τρόπον τινὰ πάντων αἴτιος.' 'Δῆλον', ἔφη,
'ὅτι ἐπὶ ταῦτα ἂν μετ' ἐκεῖνα ἔλθοι.' 'Τί οὖν; ἀνα- 9
μιμνῃσκόμενον αὐτὸν τῆς πρώτης οἰκήσεως καὶ τῆς ἐκεῖ σοφίας καὶ τῶν τότε ξυνδεσμωτῶν οὐκ ἂν οἴει αὑτὸν μὲν εὐδαιμονίζειν τῆς μεταβολῆς, τοὺς δὲ ἐλεεῖν;' 'Καὶ μάλα.' 'Τιμαὶ δὲ καὶ ἔπαινοι εἴ τινες αὐτοῖς

ἦσαν τότε παρ' ἀλλήλων καὶ γέρα τῷ ὀξύτατα καθορῶντι τὰ παριόντα καὶ μνημονεύοντι μάλιστα, ὅσα τε πρότερα αὐτῶν καὶ ὕστερα εἰώθει καὶ ἅμα πορεύεσθαι, καὶ ἐκ τούτων δὴ δυνατώτατα ἀπομαντευομένῳ τὸ μέλλον ἥξειν, δοκεῖς ἂν αὐτὸν ἐπιθυμητικῶς αὐτῶν ἔχειν καὶ ζηλοῦν τοὺς παρ' ἐκείνοις τιμωμένους τε καὶ
λ 489 ἐνδυναστεύοντας, ἢ τὸ τοῦ Ὁμήρου ἂν πεπονθέναι καὶ σφόδρα βούλεσθαι "ἐπάρουρον ἐόντα θητευέμεν ἄλλῳ, ἀνδρὶ παρ' ἀκλήρῳ", καὶ ὁτιοῦν ἂν πεπονθέναι μᾶλλον ἢ ἐκεῖνά τε δοξάζειν καὶ ἐκείνως ζῆν;' 'Οὕτως', ἔφη, 'ἔγωγε οἶμαι, πᾶν μᾶλλον πεπονθέναι ἂν δέξασθαι ἢ ζῆν ἐκείνως.' 'Καὶ τόδε δὴ ἐννόησον', ἦν δ' ἐγώ· 'εἰ πάλιν ὁ τοιοῦτος καταβὰς εἰς τὸν αὐτὸν θᾶκον καθίζοιτο, ἆρ' οὐ σκότους ἂν πλέως σχοίη τοὺς ὀφθαλμούς, ἐξαίφνης ἥκων ἐκ τοῦ ἡλίου;' 'Καὶ μάλα γ'', ἔφη. 'Τὰς δὲ δὴ σκιὰς ἐκείνας πάλιν εἰ δέοι αὐτὸν γνωματεύοντα διαμιλλᾶσθαι τοῖς ἀεὶ δεσμώταις ἐκείνοις, ἐν ᾧ ἀμβλυώττει, πρὶν καταστῆναι τὰ ὄμματα, οὗτος δ' ὁ χρόνος μὴ πάνυ ὀλίγος εἴη τῆς συνηθείας, ἆρ' οὐ γέλωτ' ἂν παράσχοι, καὶ λέγοιτο ἂν περὶ αὐτοῦ, ὡς ἀναβὰς ἄνω διεφθαρμένος ἥκει τὰ ὄμματα, καὶ ὅτι οὐκ ἄξιον οὐδὲ πειρᾶσθαι ἄνω ἰέναι; καὶ τὸν ἐπιχειροῦντα λύειν τε καὶ ἀνάγειν, εἴ πως ἐν ταῖς χερσὶ δύναιντο λαβεῖν, κἂν ἀποκτείνειαν;' 'Σφόδρα γ'', ἔφη.

VI. Dialecticae sophistarum captiones.

(Platon. Euthyd. p. 275D—277C. cf. fasc. II p. 3.)

Socrates ut ventosam carpat rationem sophistarum, qui profitebantur se iuvenes ad philosophiam atque virtutem instructuros esse, Critoni narrat, quomodo Euthydemus et Dionysodorus fratres, qui antea artem gymnasticam docuerant, Cliniam iuvenem nobili loco ortum captionibus dialecticis exercuerint.

Ἤρξατο ἐνθένδε ποθὲν ὁ Εὐθύδημος, ὡς ἐγῴμαι· 'Ὦ Κλεινία, πότεροί εἰσι τῶν ἀνθρώπων οἱ μανθάνοντες, οἱ σοφοὶ ἢ οἱ ἀμαθεῖς;' Καὶ τὸ μειράκιον, ἅτε μεγάλου ὄντος τοῦ ἐρωτήματος, ἠρυθρίασέ τε καὶ ἀπορήσας ἔβλεπεν εἰς ἐμέ· καὶ ἐγὼ γνοὺς αὐτὸν τεθορυβημένον, 'Θάρρει', ἦν δ' ἐγώ, 'ὦ Κλεινία, καὶ ἀπόκριναι ἀνδρείως, ὁπότερά σοι φαίνεται· ἴσως γάρ τοι ὠφελήσει τὴν μεγίστην ὠφέλειαν.' Καὶ ἐν τούτῳ ὁ Διονυσόδωρος προσκύψας μοι μικρὸν πρὸς τὸ οὖς, πάνυ μειδιάσας τῷ προσώπῳ, 'Καὶ μήν', ἔφη, 'σοί, ὦ Σώκρατες, προλέγω, ὅτι ὁπότερ' ἂν ἀποκρίνηται τὸ μειράκιον, ἐξελεγχθήσεται.' 1

Καὶ αὐτοῦ μεταξὺ ταῦτα λέγοντος ὁ Κλεινίας ἔτυχεν ἀποκρινάμενος, ὥστε οὐδὲ παρακελεύσασθαί μοι ἐξεγένετο εὐλαβηθῆναι τῷ μειρακίῳ, ἀλλ' ἀπεκρίνατο, ὅτι οἱ σοφοὶ εἶεν οἱ μανθάνοντες. καὶ ὁ Εὐθύδημος, 'Καλεῖς δέ τινας', ἔφη, 'διδασκάλους, ἢ οὔ;' Ὡμολόγει. 'Οὐκοῦν τῶν μανθανόντων οἱ διδάσκαλοι διδάσκαλοί εἰσιν, ὥσπερ ὁ κιθαριστὴς καὶ ὁ γραμματιστὴς διδάσκαλοι δήπου ἦσαν σοῦ καὶ τῶν ἄλλων παίδων, ὑμεῖς δὲ μαθηταί;' Συνέφη. 2

'Ἄλλο τι οὖν, ἡνίκα ἐμανθάνετε, οὔπω ἠπίστασθε ταῦτα, ἃ ἐμανθάνετε;' Οὐκ ἔφη. 'Ἆρ' οὖν σοφοὶ ἦτε, ὅτε ταῦτα οὐκ ἠπίστασθε;' 'Οὐ δῆτα', ἦ δ' ὅς. 'Οὐκοῦν εἰ μὴ σοφοί, ἀμαθεῖς;' 3

'Πάνυ γε.' ''Υμεῖς ἄρα μανθάνοντες ἃ οὐκ ἠπίστασθε,
ἀμαθεῖς ὄντες ἐμανθάνετε.' Ἐπένευσε τὸ μειράκιον.
'Οἱ ἀμαθεῖς ἄρα μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ
4 οἱ σοφοί, ὡς σὺ οἴει.' Ταῦτ' οὖν εἰπόντος αὐτοῦ,
ὥσπερ ὑπὸ διδασκάλου χορὸς ἀποσημήναντος ἅμα
ἀνεθορύβησάν τε καὶ ἐγέλασαν οἱ ἑπόμενοι ἐκεῖνοι
μετὰ τοῦ Διονυσοδώρου τε καὶ Εὐθυδήμου· καὶ πρὶν
ἀναπνεῦσαι καλῶς τε καὶ εὖ τὸ μειράκιον, ἐκδεξάμενος
ὁ Διονυσόδωρος, 'Τί δέ, ὦ Κλεινία', ἔφη, 'ὁπότε ἀπο-
στοματίζοι ὑμῖν ὁ γραμματιστής, πότεροι ἐμάνθανον
τῶν παίδων τὰ ἀποστοματιζόμενα, οἱ σοφοὶ ἢ οἱ ἀμα-
θεῖς;' 'Οἱ σοφοί', ἔφη ὁ Κλεινίας. 'Οἱ σοφοὶ ἄρα
μανθάνουσιν, ἀλλ' οὐχ οἱ ἀμαθεῖς, καὶ οὐκ ὀρθῶς ἄρτι
5 Εὐθυδήμῳ ἀπεκρίνω.' Ἐνταῦθα δὴ καὶ πάνυ ἐγέλα-
σάν τε καὶ ἐθορύβησαν οἱ ἐρασταὶ τοῖν ἀνδροῖν, ἀγα-
σθέντες τῆς σοφίας αὐτοῖν· οἱ δ' ἄλλοι ἡμεῖς ἐκπεπληγ-
μένοι ἐσιωπῶμεν. Γνοὺς δὲ ἡμᾶς ὁ Εὐθύδημος ἐκ-
πεπληγμένους, ἵν' ἔτι μᾶλλον θαυμάζοιμεν αὐτόν, οὐκ
ἀνίει τὸ μειράκιον, ἀλλ' ἠρώτα, καὶ ὥσπερ οἱ ἀγαθοὶ
ὀρχησταὶ διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα περὶ τοῦ αὐτοῦ
καὶ ἔφη· 'Πότερον γὰρ οἱ μανθάνοντες μανθάνουσιν
6 ἃ ἐπίστανται ἢ ἃ μὴ ἐπίστανται;' Καὶ ὁ Διονυσόδω-
ρος πάλιν μικρὸν πρός με ψιθυρίσας, 'Καὶ τοῦτ'', ἔφη,
'ὦ Σώκρατες, ἕτερον τοιοῦτον, οἷον τὸ πρότερον.' ''Ω
Ζεῦ', ἔφην ἐγώ, 'ἦ μὴν καὶ τὸ πρότερόν γε καλὸν
ὑμῖν ἐφάνη τὸ ἐρώτημα.' 'Πάντ'', ἔφη, 'ὦ Σώκρατες,
τοιαῦτα ἡμεῖς ἐρωτῶμεν ἄφυκτα.' 'Τοιγάρτοι', ἦν δ'
7 ἐγώ, 'δοκεῖτέ μοι εὐδοκιμεῖν παρὰ τοῖς μαθηταῖς.' Ἐν
δὲ τούτῳ ὁ μὲν Κλεινίας τῷ Εὐθυδήμῳ ἀπεκρίνατο,
ὅτι μανθάνοιεν οἱ μανθάνοντες ἃ οὐκ ἐπίσταιντο· ὁ δὲ
ἤρετο αὐτὸν διὰ τῶν αὐτῶν ὧνπερ τὸ πρότερον· 'Τί

δέ;' ἦ δ' ὅς, 'οὐκ ἐπίστασαι σὺ γράμματα;' 'Ναί', ἔφη. 'Οὐκοῦν ἅπαντα;' Ὡμολόγει. 'Ὅταν οὖν τις ἀποστοματίζῃ ὁτιοῦν, οὐ γράμματα ἀποστοματίζει;' Ὡμολόγει. 'Οὐκοῦν ὧν τι σὺ ἐπίστασαι', ἔφη, 'ἀποστοματίζει, εἴπερ πάντα ἐπίστασαι;' Καὶ τοῦτο ὡμολόγει. 'Τί οὖν;' ἦ δ' ὅς, 'ἆρα σὺ οὐ μανθάνεις ἅττ' ἂν ἀποστοματίζῃ τις, ὁ δὲ μὴ ἐπιστάμενος γράμματα μανθάνει;' 'Οὔκ, ἀλλ'', ἦ δ' ὅς, 'μανθάνω.' 'Οὐκοῦν ἃ ἐπίστασαι', ἔφη, 'μανθάνεις, εἴπερ γε ἅπαντα τὰ γράμματα ἐπίστασαι.' Ὡμολόγησεν. 'Οὐκ ἄρα ὀρθῶς ἀπεκρίνω', ἔφη. Καὶ οὔπω σφόδρα τι ταῦτα εἴρητο 8
τῷ Εὐθυδήμῳ, καὶ ὁ Διονυσόδωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον πάλιν ἐστοχάζετο τοῦ μειρακίου καὶ εἶπεν· ''Εξαπατᾷ σε Εὐθύδημος, ὦ Κλεινία. εἰπὲ γάρ μοι, τὸ μανθάνειν οὐκ ἐπιστήμην ἐστὶ λαμβάνειν τούτου, οὗ ἄν τις μανθάνῃ;' Ὡμολόγει ὁ Κλεινίας. 'Τὸ δ' ἐπίστασθαι', ἦ δ' ὅς, 'ἄλλο τι ἢ ἔχειν ἐπιστήμην ἤδη ἐστίν;' Συνέφη. 'Τὸ ἄρα μὴ ἐπίστασθαι 9
μήπω ἔχειν ἐπιστήμην ἐστίν;' Ὡμολόγει αὐτῷ. 'Πότερον οὖν εἰσιν οἱ λαμβάνοντες ὁτιοῦν οἱ ἔχοντες ἤδη ἢ οἳ ἂν μή;' 'Οἳ ἂν μὴ ἔχωσιν.' 'Οὐκοῦν ὡμολόγηκας εἶναι τούτων καὶ τοὺς μὴ ἐπισταμένους, τῶν μὴ ἐχόντων;' Κατένευσε. 'Τῶν λαμβανόντων ἄρ' εἰσὶν οἱ μανθάνοντες, ἀλλ' οὐ τῶν ἐχόντων;' Συνέφη. 'Οἱ μὴ ἐπιστάμενοι ἄρα', ἔφη, 'μανθάνουσιν, ὦ Κλεινία, ἀλλ' οὐχ οἱ ἐπιστάμενοι.'

VII. Plato apud Dionysium minorem tyrannum.

(Plutarch. vit. Dion. c. 10—20. cf. fasc. IV p. 22.)

(Dionysius minor Doride natus erat, cum Dio, qui Platonem advocavit, Aristomachae alterius Dionysii maioris uxoris frater esset. Theodotes et Heraclides populari factioni praeerant.)

I Διονύσιον τὸν νεώτερον διαλελωβημένον ἀπαι-
Ol. 103, 1 a. Chr. 367 δευσίᾳ καὶ συντετριμμένον τὸ ἦθος ὁ Δίων ὁρῶν παρεκάλει πρὸς παιδείαν τραπέσθαι καὶ δεηθῆναι τοῦ πρώτου τῶν φιλοσόφων πᾶσαν δέησιν ἐλθεῖν εἰς Σικελίαν· ἐλθόντι δὲ παρασχεῖν αὐτόν, ὅπως διακοσμηθεὶς τὸ ἦθος εἰς ἀρετῆς λόγον καὶ πρὸς τὸ θειότατον ἀφομοιωθεὶς παράδειγμα τῶν ὄντων καὶ κάλλιστον πολλὴν μὲν εὐδαιμονίαν ἑαυτῷ μηχανήσεται, πολλὴν δὲ τοῖς πολίταις, ὅσα νῦν ἐν ἀθυμίᾳ διοικοῦσι πρὸς ἀνάγκην τῆς ἀρχῆς, ταῦτα σωφροσύνῃ καὶ δικαιοσύνῃ μετ' εὐμενείας πατρονομούμενα παρασχὼν καὶ γενό-
2 μενος βασιλεὺς ἐκ τυράννου. τοὺς γὰρ ἀδαμαντίνους δεσμοὺς οὐχ, ὥσπερ ὁ πατὴρ ἔλεγεν αὐτοῦ, φόβον καὶ βίαν καὶ νεῶν πλῆθος εἶναι καὶ βαρβάρων μυρίανδρον φυλακήν, εὔνοιαν δὲ καὶ προθυμίαν καὶ χάριν ἐγγενομένην ὑπ' ἀρετῆς καὶ δικαιοσύνης, ἅ, καίπερ ὄντα μαλακώτερα τῶν συντόνων καὶ σκληρῶν ἐκείνων, ἰσχυ-
3 ρότερα πρὸς διαμονὴν ἡγεμονίας ὑπάρχειν. χωρὶς δὲ τούτων ἀφιλότιμον εἶναι καὶ ἄζηλον τὸν ἄρχοντα τῷ μὲν σώματι περιττῶς ἀμπεχόμενον καὶ τῇ περὶ τὴν οἴκησιν ἀβρότητι καὶ κατασκευῇ λαμπρυνόμενον, ὁμιλίᾳ δὲ καὶ λόγῳ μηδὲν ὄντα τοῦ προστυχόντος σεμνότερον μηδὲ τῆς ψυχῆς τὸ βασίλειον ἀξιοῦντα κεκοσμημένον ἔχειν βασιλικῶς καὶ πρεπόντως.

Ταῦτα πολλάκις τοῦ Δίωνος παραινοῦντος καὶ II
τῶν λόγων τοῦ Πλάτωνος ἔστιν οὕστινας ὑποσπείρον-
τος, ἔσχεν ἔρως τὸν Διονύσιον ὀξὺς καὶ περιμανὴς τῶν
τε λόγων καὶ τῆς συνουσίας τοῦ Πλάτωνος. εὐθὺς οὖν 2
Ἀθήναζε πολλὰ μὲν ἐφοίτα γράμματα παρὰ τοῦ Διονυ-
σίου, πολλαὶ δ' ἐπισκήψεις παρὰ τοῦ Δίωνος, ἄλλαι δ'
ἐξ Ἰταλίας παρὰ τῶν Πυθαγορικῶν διακελευομένων
παραγενέσθαι καὶ νέας ψυχῆς ἐξουσίᾳ μεγάλῃ καὶ δυνά-
μει περιφερομένης ἐπιλαβέσθαι καὶ κατασχεῖν ἐμβριθε-
στέροις λογισμοῖς. Πλάτων μὲν οὖν, ὥς φησιν αὐτός, 3
ἑαυτὸν αἰσχυνθεὶς μάλιστα, μὴ δόξειε λόγος εἶναι μό- ep. VII
νον, ἔργου δ' ἑκὼν οὐδενὸς ἂν ἅψασθαι, καὶ προσδο-
κήσας δι' ἑνὸς ἀνδρὸς ὥσπερ ἡγεμονικοῦ μέρους ἐκ-
καθαρθέντος ὅλην ἰατρεύσειν Σικελίαν νοσοῦσαν, ὑπή-
κουσεν. Οἱ δὲ τῷ Δίωνι πολεμοῦντες φοβούμενοι τὴν 4
τοῦ Διονυσίου μεταβολὴν ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυ-
γῆς μεταπέμπεσθαι Φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον
περὶ λόγους καὶ τυραννικῶν ἠθῶν ἐμπειρότατον, ὡς ἀν-
τίταγμα πρὸς Πλάτωνα καὶ φιλοσοφίαν ἐκεῖνον ἕξοντες.
ὁ γὰρ δὴ Φίλιστος ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ
προθυμότατον ἑαυτὸν παρέσχε καὶ τὴν ἄκραν διε-
φύλαξε φρουραρχῶν ἐπὶ πολὺν χρόνον. οὗτος μὲν οὖν 5
εὐθὺς κατελθὼν διεπεφύκει τῆς τυραννίδος· τῷ δὲ
Δίωνι καὶ παρ' ἄλλων ἐτύγχανον οὖσαι διαβολαὶ καὶ
κατηγορίαι πρὸς τὸν τύραννον ὡς διειλεγμένῳ περὶ
καταλύσεως τῆς ἀρχῆς πρός τε Θεοδότην καὶ πρὸς
Ἡρακλείδην. ἤλπιζε μὲν γάρ, ὡς ἔοικε, διὰ Πλάτωνος
παραγενομένου τὸ δεσποτικὸν καὶ λίαν ἄκρατον ἀφε-
λὼν τῆς τυραννίδος ἐμμελῆ τινα καὶ νόμιμον ἄρχοντα
τὸν Διονύσιον καταστήσειν· εἰ δὲ ἀντιβαίνοι καὶ μὴ
μαλάσσοιτο, καταλύσας ἐκεῖνον ἐγνώκει τὴν πολιτείαν

*ἀποδιδόναι Συρακουσίοις, οὐκ ἐπαινῶν μὲν δημοκρα-
τίαν, πάντως δὲ βελτίω τυραννίδος ἡγούμενος τοῖς
διαμαρτάνουσιν ὑγιαινούσης ἀριστοκρατίας.*

6 *Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων
Πλάτων εἰς Σικελίαν ἀφικόμενος περὶ μὲν τὰς πρώ-
τας ἀπαντήσεις θαυμαστῆς ἐτύγχανε φιλοφροσύνης καὶ
τιμῆς. καὶ γὰρ ἅρμα τῶν βασιλικῶν αὐτῷ παρέστη
κεκοσμημένον διαπρεπῶς ἀποβάντι τῆς τριήρους, καὶ
θυσίαν ἔθυσεν ὁ τύραννος ὡς εὐτυχήματος μεγάλου τῇ
ἀρχῇ προσγεγονότος. αἰδὼς δὲ συμποσίων καὶ σχημα-
τισμὸς αὐλῆς καὶ πρᾳότης αὐτοῦ τοῦ τυράννου περὶ
ἕκαστα τῶν χρηματιζομένων θαυμαστὰς ἐνέδωκεν ἐλπί-
7 δας μεταβολῆς τοῖς πολίταις. φορὰ δέ τις ἦν ἐπὶ λό-
γους καὶ φιλοσοφίαν ἁπάντων, καὶ τὸ τυραννεῖον, ὥς
φασι, κονιορτὸς ὑπὸ πλήθους τῶν γεωμετρούντων κατ-
8 εῖχεν. ἡμερῶν δὲ ὀλίγων διαγενομένων θυσία μὲν ἦν
πάτριος ἐν τοῖς τυραννείοις· τοῦ δὲ κήρυκος, ὥσπερ
εἰώθει, κατευξαμένου διαμένειν τὴν τυραννίδα ἀσάλευ-
τον πολλοὺς χρόνους, ὁ Διονύσιος λέγεται παρεστὼς
'Οὐ παύσῃ' φάναι 'καταρώμενος ἡμῖν;'*

9 *Τοῦτο κομιδῇ τοὺς περὶ τὸν Φίλιστον ἐλύπησεν,
ἄμαχόν τινα τοῦ Πλάτωνος ἡγουμένους ἔσεσθαι χρόνῳ
καὶ συνηθείᾳ τὴν δύναμιν, εἰ νῦν ἐκ συνουσίας ὀλί-
γης ἠλλοίωκεν οὕτω καὶ μεταβέβληκε τὴν γνώμην τὸ
10 μειράκιον. οὐκέτ' οὖν καθ' ἕνα καὶ λαθραίως, ἀλλὰ
πάντες ἀναφανδὸν ἐλοιδόρουν τὸν Δίωνα, λέγοντες ὡς
οὐ λέληθε κατεπᾴδων καὶ καταφαρμάσσων τῷ Πλάτω-
νος λόγῳ Διονύσιον, ὅπως ἀφέντος ἑκουσίως αὐτοῦ
καὶ προεμένου τὴν ἀρχὴν ὑπολαβὼν εἰς τοὺς Ἀριστο-
11 μάχης περιστήσῃ παῖδας, ὧν θεῖός ἐστιν. ἔνιοι δὲ
προσεποιοῦντο δυσχεραίνειν, εἰ πρότερον μὲν Ἀθηναῖοι*

*ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσι μεγάλαις δεῦρο πλεύ-
σαντες ἀπώλοντο καὶ διεφθάρησαν πρότερον ἢ λαβεῖν
Συρακούσας, νυνὶ δὲ δι᾽ ἑνὸς σοφιστοῦ καταλύουσι τὴν
Διονυσίου τυραννίδα, συμπείσαντες αὐτὸν ἐκ τῶν μυ-
ρίων δορυφόρων ἀποδράντα καὶ καταλιπόντα τὰς τετρα-
κοσίας τριήρεις καὶ τοὺς μυρίους ἱππεῖς καὶ τοὺς πολ-
λάκις τοσούτους ὁπλίτας ἐν Ἀκαδημείᾳ τὸ σιωπώμενον
ἀγαθὸν ζητεῖν καὶ διὰ γεωμετρίας εὐδαίμονα γενέσθαι,
τὴν ἐν ἀρχῇ καὶ χρήμασι καὶ τρυφαῖς εὐδαιμονίαν
Δίωνι καὶ τοῖς Δίωνος ἀδελφιδοῖς προέμενον. Ἐκ* 12
*τούτων ὑποψίας πρῶτον, εἶτα καὶ φανερωτέρας ὀργῆς
καὶ διαφορᾶς γενομένης ἐκομίσθη τις ἐπιστολὴ κρύφα
πρὸς Διονύσιον, ἣν ἐγεγράφει Δίων πρὸς τοὺς Καρχη-
δονίων ἐπιμελητὰς κελεύων, ὅταν Διονυσίῳ περὶ τῆς
εἰρήνης διαλέγωνται, μὴ χωρὶς αὐτοῦ ποιήσασθαι τὴν
ἔντευξιν, ὡς πάντα θησομένους ἀμεταπτώτως δι᾽ αὐτοῦ.
ταύτην ἀναγνοὺς Διονύσιος Φιλίστῳ καὶ μετ᾽ ἐκείνου* 13
*βουλευσάμενος, ὥς φησι Τίμαιος, ὑπῆλθε τὸν Δίωνα
πεπλασμέναις διαλύσεσι· καὶ μέτρια σκηψάμενος διαλ-
λάττεσθαί τε φήσας, μόνον τε ἀπαγαγὼν ὑπὸ τὴν
ἀκρόπολιν πρὸς τὴν θάλασσαν ἔδειξε τὴν ἐπιστολὴν
καὶ κατηγόρησεν ὡς συνισταμένου μετὰ Καρχηδονίων
ἐπ᾽ αὐτόν. ἀπολογεῖσθαι δὲ βουλομένου τοῦ Δίωνος* 14
*οὐκ ἀνασχόμενος, ἀλλ᾽ εὐθύς, ὡς εἶχεν, ἐνθέμενος εἰς
ἀκάτιον προσέταξε τοῖς ναύταις κομίζοντας αὐτὸν ἐκθεῖ-
ναι πρὸς τὴν Ἰταλίαν. Γενομένου δὲ τούτου καὶ φανέν-* 15
*τος ὠμοῦ τοῖς ἀνθρώποις τὴν μὲν οἰκίαν τοῦ τυράννου
πένθος εἶχε διὰ τὰς γυναῖκας, ἡ δὲ πόλις τῶν Συρα-
κουσίων ἐπῆρτο πράγματα νεώτερα καὶ μεταβολὴν
προσδεχομένη ταχεῖαν ἐκ τοῦ περὶ Δίωνα θορύβου
καὶ τῆς πρὸς τὸν τύραννον ἀπιστίας τῶν ἄλλων. ἃ δὴ* 16

συνορῶν ὁ Διονύσιος καὶ δεδοικὼς τοὺς μὲν φίλους παρεμυθεῖτο καὶ τὰς γυναῖκας, ὡς οὐ φυγῆς, ἀλλ' ἀποδημίας τῷ Δίωνι γεγενημένης, ὡς μή τι χεῖρον ὀργῇ πρὸς τὴν αὐθάδειαν αὐτοῦ παρόντος ἁμαρτεῖν βιασθείη· δύο δὲ ναῦς παραδοὺς τοῖς Δίωνος οἰκείοις ἐκέλευσεν ἐνθεμένοις ὅσα βούλοιντο τῶν ἐκείνου χρήματα καὶ θεράποντας ἀπάγειν πρὸς αὐτὸν εἰς Πελοπόννησον. ἦν δ' οὐσία μεγάλη τῷ Δίωνι καὶ σχεδόν τι τυραννικὴ πομπὴ καὶ κατασκευὴ περὶ τὴν δίαιταν, ἣν οἱ φίλοι συλλαβόντες ἐκόμιζον. ἄλλα δ' ἐπέμπετο πολλὰ παρὰ τῶν γυναικῶν καὶ τῶν ἑταίρων, ὥστε χρημάτων ἕνεκα καὶ πλούτου λαμπρὸν ἐν τοῖς Ἕλλησιν εἶναι καὶ διαφανῆναι τῇ τοῦ φυγάδος εὐπορίᾳ τὴν τῆς τυραννίδος δύναμιν.

III *Πλάτωνα δὲ Διονύσιος εὐθὺς μὲν εἰς τὴν ἀκρόπολιν μετέστησεν, ἔντιμον αὐτῷ σχήματι ξενίας φιλανθρώπου φρουρὰν μηχανησάμενος, ὡς μὴ συμπλέοι*
2 *Δίωνι μάρτυς ὧν ἠδίκητο. χρόνῳ δὲ καὶ συνδιαιτήσει, καθάπερ ψαύειν ἀνθρώπου θηρίον, ἐθισθεὶς ὑπομένειν τε τὴν ὁμιλίαν αὐτοῦ καὶ τὸν λόγον, ἠράσθη τυραννικὸν ἔρωτα, μόνος ἀξιῶν ὑπὸ Πλάτωνος ἀντερᾶσθαι καὶ θαυμάζεσθαι μάλιστα πάντων, ἕτοιμος ὢν ἐπιτρέπειν τὰ πράγματα καὶ τὴν τυραννίδα μὴ προτιμῶντι*
3 *τὴν πρὸς Δίωνα φιλίαν τῆς πρὸς αὐτόν. ἦν οὖν τῷ Πλάτωνι συμφορὰ τὸ πάθος αὐτοῦ τοῦτο, μαινομένου καθάπερ οἱ δυσέρωτες ὑπὸ ζηλοτυπίας, καὶ πολλὰς μὲν ὀργὰς ἐν ὀλίγῳ χρόνῳ, πολλὰς δὲ διαλλαγὰς καὶ δεήσεις ποιουμένου πρὸς αὐτόν, ἀκροᾶσθαι δὲ τῶν λόγων καὶ κοινωνεῖν τῆς περὶ φιλοσοφίαν πραγματείας σπουδάζοντος μὲν ὑπερφυῶς, αἰδουμένου δὲ τοὺς ἀποτρέπον-*
4 *τας ὡς διαφθαρησομένου. Ἐν τούτῳ δὲ πολέμου τινὸς ἐμπεσόντος ἀποπέμπει τὸν Πλάτωνα, συνθέμενος εἰς*

*ὥραν ἔτους μεταπέμψασθαι Δίωνα. καὶ τοῦτο μὲν
εὐθὺς ἐψεύσατο, τὰς δὲ προσόδους τῶν κτημάτων ἀπ-
έπεμπεν αὐτῷ, ἀξιῶν Πλάτωνα συγγνῶναι περὶ τοῦ
χρόνου διὰ τὸν πόλεμον· εἰρήνης γὰρ γενομένης τά-
χιστα μεταπέμψεσθαι τὸν Δίωνα καὶ ἀξιοῦν αὐτὸν
ἡσυχίαν ἄγειν καὶ μηδὲν νεωτερίζειν μηδὲ βλασφημεῖν
κατ' αὐτοῦ πρὸς τοὺς Ἕλληνας.*

Ταῦτα ἐπειρᾶτο ποιεῖν Πλάτων καὶ Δίωνα τρέψας 5
*ἐπὶ φιλοσοφίαν ἐν Ἀκαδημείᾳ συνεῖχεν. ᾤκει μὲν
οὖν ἐν ἄστει παρὰ Καλλίππῳ τινὶ τῶν γνωρίμων,
ἀγρὸν δὲ διαγωγῆς χάριν ἐκτήσατο, καὶ τοῦτον ὕστερον
εἰς Σικελίαν πλέων Σπευσίππῳ δωρεὰν ἔδωκεν, ᾧ μά-
λιστα τῶν Ἀθήνησι φίλων ἐχρῆτο καὶ συνδιῃτᾶτο,
βουλομένου τοῦ Πλάτωνος ὁμιλίᾳ χάριν ἐχούσῃ καὶ
παιδιᾶς ἐμμελοῦς κατὰ καιρὸν ἁπτομένῃ κεραννύμενον
ἀφηδύνεσθαι τοῦ Δίωνος τὸ ἦθος. τοιοῦτος δέ τις ὁ
Σπεύσιππος ἦν· ᾗ καὶ 'σκῶψαι ἀγαθὸν' αὐτὸν ἐν τοῖς
Σίλλοις ὁ Τίμων προσηγόρευσεν. αὐτῷ δὲ Πλάτωνι* 6
*χορηγοῦντι παίδων χορῷ τόν τε χορὸν ἤσκησεν ὁ Δίων
καὶ τὸ δαπάνημα πᾶν ἐτέλεσε παρ' ἑαυτοῦ, συγχωροῦντος
τοῦ Πλάτωνος τὴν τοιαύτην φιλοτιμίαν πρὸς τοὺς Ἀθη-
ναίους, ὡς ἐκείνῳ μᾶλλον εὔνοιαν ἢ δόξαν αὐτῷ φέ-
ρουσαν. ἐπεφοίτα δὲ καὶ ταῖς ἄλλαις πόλεσιν ὁ Δίων* 7
*καὶ συνεσχόλαζε καὶ συνεπανηγύριζε τοῖς ἀρίστοις καὶ
πολιτικωτάτοις ἀνδράσιν, οὐδὲν ἐν τῇ διαίτῃ σόλοικον
ἐπιδεικνύμενος οὐδὲ τυραννικὸν οὐδὲ ἐπιτεθρυμμένον,
ἀλλὰ σωφροσύνην καὶ ἀρετὴν καὶ ἀνδρείαν καὶ περὶ
λόγους καὶ περὶ φιλοσοφίαν εὐσχήμονας διατριβάς. ἐφ'* 8
*οἷς εὔνοια παρὰ πάντων ἐγίνετο καὶ ζῆλος αὐτῷ τιμαί
τε δημόσιαι καὶ ψηφίσματα παρὰ τῶν πόλεων. Λακε-
δαιμόνιοι δὲ καὶ Σπαρτιάτην αὐτὸν ἐποιήσαντο, τῆς*

Διονυσίου καταφρονήσαντες ὀργῆς, καίπερ αὐτοῖς τότε
9 *προθύμως ἐπὶ τοὺς Θηβαίους συμμαχοῦντος. λέγεται δέ ποτε τὸν Δίωνα τοῦ Μεγαρέως Πτοιοδώρου δεόμενον ἐπὶ τὴν οἰκίαν ἐλθεῖν· ἦν δέ, ὡς ἔοικε, τῶν πλουσίων τις καὶ δυνατῶν ὁ Πτοιόδωρος· ὄχλον οὖν ἐπὶ θύραις ἰδὼν ὁ Δίων καὶ πλῆθος ἀσχολιῶν καὶ δυσέντευκτον αὐτὸν καὶ δυσπρόσοδον, ἀπιδὼν πρὸς τοὺς φίλους δυσχεραίνοντας καὶ ἀγανακτοῦντας 'Τί τοῦτον' ἔφη 'μεμφόμεθα; καὶ γὰρ αὐτοὶ πάντως ἐν Συρακούσαις ὅμοια τούτοις ἐποιοῦμεν.'*

IV *Χρόνου δὲ προϊόντος ὁ Διονύσιος ζηλοτυπῶν καὶ δεδοικὼς τοῦ Δίωνος τὴν παρὰ τοῖς Ἕλλησιν εὔνοιαν ἐπαύσατο τὰς προσόδους ἀποστέλλων καὶ τὴν*
2 *οὐσίαν παρέδωκεν ἰδίοις ἐπιτρόποις. βουλόμενος δὲ καὶ τὴν εἰς τοὺς φιλοσόφους διὰ Πλάτωνα κακοδοξίαν ἀναμάχεσθαι πολλοὺς συνῆγε τῶν πεπαιδεῦσθαι δοκούντων. φιλοτιμούμενος δὲ τῷ διαλέγεσθαι περιεῖναι πάντων ἠναγκάζετο τοῖς Πλάτωνος παρακούσμασι κακῶς χρῆσθαι. καὶ πάλιν ἐκεῖνον ἐπόθει καὶ κατεγίνωσκεν αὐτὸς αὑτοῦ μὴ χρησάμενος παρόντι μηδὲ διακούσας*
3 *ὅσα καλῶς εἶχεν. οἷα δὲ τύραννος ἔμπληκτος ἀεὶ ταῖς ἐπιθυμίαις καὶ πρὸς πᾶσαν ὀξύρροπος σπουδὴν εὐθὺς ὥρμησεν ἐπὶ τὸν Πλάτωνα καὶ πᾶσαν μηχανὴν αἴρων συνέπεισε τοὺς περὶ Ἀρχύταν Πυθαγορικοὺς τῶν ὁμολογουμένων ἀναδόχους γενομένους καλεῖν Πλάτωνα· δι' ἐκείνου γὰρ αὐτοῖς ἐγεγόνει φιλία καὶ ξενία τὸ*
4 *πρῶτον. οἱ δ' ἔπεμψαν Ἀρχέδημον παρ' αὐτόν· ἔπεμψε δὲ καὶ Διονύσιος τριήρη καὶ φίλους δεησομένους τοῦ Πλάτωνος· αὐτός τε σαφῶς καὶ διαρρήδην ἔγραψεν, ὡς οὐδὲν ἂν γένοιτο τῶν μετρίων Δίωνι μὴ πεισθέντος Πλάτωνος ἐλθεῖν εἰς Σικελίαν, πεισθέντος δὲ πάντα.*

πολλαὶ δ' ἀφίκοντο πρὸς Δίωνα παρὰ τῆς ἀδελφῆς καὶ 5
γυναικὸς ἐπισκήψεις δεῖσθαι Πλάτωνος ὑπακοῦσαι Διο-
νυσίῳ καὶ μὴ πρόφασιν παρασχεῖν. οὕτω μὲν δή φησιν ep. VII
ὁ Πλάτων ἐλθεῖν τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ
Σκύλλαν,

'ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσειε Χάρυβδιν.' Hom. μ 428

Ἐλθὼν δὲ μεγάλης μὲν αὐτὸν ἐνέπλησε χαρᾶς, 6
μεγάλης δὲ πάλιν ἐλπίδος Σικελίαν συνευχομένην καὶ Ol. 104,4 a. Chr. 361
συμφιλοτιμουμένην Πλάτωνα μὲν Φιλίστου περιγενέ-
σθαι, φιλοσοφίαν δὲ τυραννίδος. ἦν δὲ πολλὴ μὲν
τῶν γυναικῶν σπουδὴ περὶ αὐτόν, ἐξαίρετος δὲ παρὰ
τῷ Διονυσίῳ πίστις, ἣν οὐδεὶς ἄλλος εἶχεν, ἀδιερεύ-
νητον αὐτῷ πλησιάζειν. δωρεὰς δὲ χρημάτων πολλῶν 7
καὶ πολλάκις τοῦ μὲν διδόντος, τοῦ δὲ μὴ δεχομένου
παρὼν Ἀρίστιππος ὁ Κυρηναῖος ἀσφαλῶς ἔφη μεγαλό-
ψυχον εἶναι Διονύσιον· αὐτοῖς μὲν γὰρ μικρὰ διδόναι
πλειόνων δεομένοις, Πλάτωνι δὲ πολλὰ μηδὲν λαμβά-
νοντι. μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας ἀρξαμένου 8
Πλάτωνος ἐντυγχάνειν περὶ Δίωνος ὑπερθέσεις τὸ πρῶ-
τον ἦσαν, εἶτα μέμψεις καὶ διαφοραὶ λανθάνουσαι τοὺς
ἐκτός, ἐπικρυπτομένου Διονυσίου καὶ ταῖς ἄλλαις τὸν
Πλάτωνα θεραπείαις καὶ τιμαῖς πειρωμένου παράγειν
ἀπὸ τῆς Δίωνος εὐνοίας, οὐδ' αὐτὸν ἔν γε τοῖς πρώ-
τοις χρόνοις ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ καὶ
ψευδολογίαν, ἀλλ' ἐγκαρτεροῦντα καὶ σχηματιζόμενον.
οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους καὶ λανθάνειν 9
πάντας οἰομένων Ἑλίκων ὁ Κυζικηνὸς εἷς τῶν Πλά-
τωνος συνήθων ἡλίου προεῖπεν ἔκλειψιν· καὶ γενομέ-
νης, ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου δωρεὰν
ἔλαβεν ἀργυρίου τάλαντον. Ἀρίστιππος δὲ παίζων 10
πρὸς τοὺς ἄλλους φιλοσόφους ἔφη τι καὶ αὐτὸς ἔχειν

τῶν παραδόξων προειπεῖν. ἐκείνων δὲ φράσαι δεομένων 'Προλέγω τοίνυν' εἶπεν 'ὀλίγου χρόνου Πλάτωνα καὶ
11 *Διονύσιον ἐχθροὺς γενησομένους.' τέλος δὲ τὴν μὲν οὐσίαν τοῦ Δίωνος ὁ Διονύσιος ἐπώλει καὶ τὰ χρήματα κατεῖχε, Πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον εἰς τοὺς μισθοφόρους μετέστησε πάλαι μισοῦντας αὐτὸν καὶ ζητοῦντας ἀνελεῖν ὡς πείθοντα Διονύσιον ἀφεῖναι τὴν τυραννίδα καὶ ζῆν ἀδορυφόρητον.*

12 *Ἐν τοιούτῳ δὲ κινδύνῳ γενομένου τοῦ Πλάτωνος οἱ περὶ Ἀρχύταν πυθόμενοι ταχὺ πέμπουσι πρεσβείαν καὶ τριακόντορον, ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ Διονυσίου καὶ λέγοντες, ὡς αὐτοὺς λαβὼν ἀναδόχους τῆς*
13 *ἀσφαλείας πλεύσειεν εἰς Συρακούσας. ἀπολεγομένου δὲ τοῦ Διονυσίου τὴν ἔχθραν ἑστιάσεσι καὶ φιλοφροσύναις περὶ τὴν προπομπήν, ἕν δέ τι προαχθέντος πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν '"Η που, Πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας', ὑπομειδιάσας ἐκεῖνος ἀπεκρίνατο· 'Μὴ τοσαύτη λόγων ἐν Ἀκαδημείᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινα μνημονεῦσαι.' Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ Πλάτωνος γενέσθαι λέγουσιν.*

VIII. Aristoteles et Alexander.

(Plutarch. Alex. c. 7—8.)

1 *Καθορῶν δὲ ὁ Φίλιππος τὴν φύσιν αὐτοῦ [Ἀλεξάνδρου] δυσκίνητον μὲν οὖσαν ἐρίσαντος μὴ βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λόγου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς*

οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατ-
άρτισιν, ὡς μείζονος οὖσαν πραγματείας καὶ κατὰ τὸν
Σοφοκλέα

'πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα',

μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λο- Ol. 109, 2 a. Chr.
γιώτατον Ἀριστοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια 343
τελέσας αὐτῷ. τὴν γὰρ Σταγιριτῶν πόλιν, ἐξ ἧς ἦν 2
Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ γεγενημένην συν-
ῴκισε πάλιν καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν
πολιτῶν ἀποκατέστησε. σχολὴν μὲν οὖν αὐτοῖς καὶ
διατριβὴν τὸ περὶ Μίεζαν νυμφαῖον ἀπέδειξεν, ὅπου
μέχρι νῦν Ἀριστοτέλους ἕδρας τε λιθίνας καὶ ὑποσκίους
περιπάτους δεικνύουσιν. Ἔοικε δὲ Ἀλέξανδρος οὐ μό- 3
νον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ
καὶ τῶν ἀπορρήτων καὶ βαθυτέρων διδασκαλιῶν, ἃς
οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγο-
ρεύοντες οὐκ ἐξέφερον εἰς πολλούς, μετασχεῖν. ἤδη 4
γὰρ εἰς Ἀσίαν διαβεβηκὼς καὶ πυθόμενος λόγους τινὰς
ἐν βιβλίοις περὶ τούτων ὑπὸ Ἀριστοτέλους ἐκδεδόσθαι,
γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παρρησιαζόμενος
ἐπιστολήν, ἧς ἀντίγραφόν ἐστιν· 'Ἀλέξανδρος Ἀριστο-
τέλει εὖ πράττειν. Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς
ἀκροαματικοὺς τῶν λόγων· τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς
τῶν ἄλλων, εἰ, καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι
πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ
τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν. Ἔρ-
ρωσο.' Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παρα- 5
μυθούμενος Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων
ἐκείνων, ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων.
ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδα-
σκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον ὑπόδειγμα

6 τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται. Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπι-
7 στολῶν λαβεῖν ἔστιν. Ἦν δὲ καὶ φύσει φιλόλογος καὶ φιλαναγνώστης. καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν, εἶχε δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ
8 τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε. τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι· κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνὰς καὶ Τελέστου καὶ
9 Φιλοξένου διθυράμβους. Ἀριστοτέλην δὲ θαυμάζων ἐν ἀρχῇ καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρός, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε ποιῆσαί τι κακόν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν ἀλλοτριότητος ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξερρύη τῆς ψυχῆς.

IX. Qualis esse oratio debeat eorum qui in re publica versantur.

(Plutarch. praec. gerendae reipubl. c. 6—9.)

1 Ὁ λόγος ἔστω τοῦ πολιτικοῦ μήτε νεαρὸς καὶ θεατρικός, ὥσπερ πανηγυρίζοντος καὶ στεφανηπλοκοῦντος

ἐξ ἁπαλῶν καὶ ἀνθηρῶν ὀνομάτων, μήτ' αὖ πάλιν, ὡς ὁ Πυθέας τὸν Δημοσθένους ἔλεγεν, ἐλλυχνίων ὄζων καὶ σοφιστικῆς περιεργίας ἐνθυμήμασι πικροῖς καὶ περιόδοις πρὸς κανόνα καὶ διαβήτην ἀπηκριβωμέναις· ἀλλ' 2
ὥσπερ οἱ μουσικοὶ τὴν θίξιν ἀξιοῦσι τῶν χορδῶν ἠθικὴν καταφαίνεσθαι, μὴ κρουστικήν, οὕτω τῷ λόγῳ τοῦ πολιτευομένου καὶ συμβουλεύοντος καὶ ἄρχοντος ἐπιφαινέσθω μὴ δεινότης μηδὲ πανουργία, μηδ' εἰς ἔπαινον αὐτοῦ τιθέσθω τὸ ἑκτικῶς ἢ τεχνικῶς ἢ διαιρετικῶς, ἀλλ' ἤθους ἀπλάστου καὶ φρονήματος ἀληθινοῦ καὶ παρρησίας πατρικῆς καὶ προνοίας καὶ συνέσεως κηδομένης ὁ λόγος ἔστω μεστός, ἐπὶ τῷ καλῷ τὸ κεχαρισμένον ἔχων καὶ ἀγωγὸν ἔκ τε σεμνῶν ὀνομάτων καὶ νοημάτων ἰδίων καὶ πιθανῶν. δέχεται δὲ ὁ πολιτικὸς 3
λόγος δικανικοῦ μᾶλλον καὶ γνωμολογίας καὶ ἱστορίας καὶ μύθους καὶ μεταφοράς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν· ὡς ὁ εἰπών· 'Μὴ ποιήσητε ἑτερόφθαλμον τὴν Ἑλλάδα'· καὶ Δημάδης τὰ ναυάγια λέγων πολιτεύεσθαι τῆς πόλεως· καὶ ὁ Ἀρχίλοχος·

> *'Μηδ' ὁ Ταντάλου λίθος*
> *τῆσδ' ὑπὲρ νήσου κρεμάσθω'·*

καὶ Περικλῆς τὴν λήμην τοῦ Πειραιῶς ἀφελεῖν κελεύων· καὶ Φωκίων ἐπὶ τῆς Λεωσθένους νίκης, καλὸν τὸ στάδιον εἶναι, δεδιέναι δὲ τοῦ πολέμου τὸν δόλιχον. καθόλου δὲ ὁ μὲν ὄγκος καὶ τὸ μέγεθος τῷ πολιτικῷ 4
μᾶλλον ἁρμόττει· παράδειγμα δὲ οἵ τε Φιλιππικοὶ καὶ τῶν Θουκυδίδου δημηγοριῶν ἡ Σθενελαΐδα τοῦ ἐφόρου καὶ Ἀρχιδάμου τοῦ βασιλέως ἐν Πλαταιαῖς καὶ Περικλέους ἡ μετὰ τὸν λοιμόν· ἐπὶ δὲ τῶν Ἐφόρου καὶ Θεοπόμπου καὶ Ἀναξιμένους ῥητορειῶν καὶ περιόδων,

ἃς περαίνουσιν ἐξοπλίσαντες τὰ στρατεύματα καὶ παρα-
τάξαντες, ἔστιν εἰπεῖν·

'Οὐδεὶς σιδήρου ταῦτα μωραίνει πέλας.'

5 Οὐ μὴν ἀλλὰ καὶ σκῶμμα καὶ γελοῖον ἔστιν ὅτε
γίνεται πολιτικοῦ λόγου μέρος, εἰ μὴ πρὸς ὕβριν ἢ
βωμολοχίαν ἀλλὰ χρησίμως ἐπιπλήττοντος ἢ διασύροντος
λέγοιτο. μάλιστα δ' εὐδοκιμεῖ τὰ τοιαῦτα περὶ τὰς
ἀμείψεις καὶ τὰς ἀπαντήσεις. τὸ γὰρ ἐκ παρασκευῆς
καὶ κατάρχοντα γελωτοποιοῦντός ἐστι, καὶ δόξα κακοη-
θείας πρόσεστιν· ὡς προσῆν τοῖς Κικέρωνος σκώμμασι
καὶ τοῖς Κάτωνος τοῦ πρεσβυτέρου καὶ Εὐξιθέου τοῦ
'Αριστοτέλους συνήθους· οὗτοι γὰρ ἔσκωπτον πολλάκις
6 ἀρχόμενοι. ἀμυνομένῳ δὲ συγγνώμην ἅμα καὶ χάριν
ὁ καιρὸς δίδωσι· καθάπερ Δημοσθένει πρὸς τὸν αἰτίαν
ἔχοντα κλέπτειν, χλευάζοντα δ' αὐτοῦ τὰς νυκτογρα-
φίας· 'Οἶδα, ὅτι σε λυπῶ λύχνον καίων'· καὶ πρὸς
Δημάδην βοῶντα· 'Δημοσθένης ἐμὲ βούλεται διορθοῦν,
ἡ ὗς τὴν 'Αθηνᾶν'· 'Αὕτη μέντοι πέρυσιν ἡ 'Αθηνᾶ
μοιχεύουσα ἐλήφθη.' χαρίεν δὲ καὶ τὸ Ξεναινέτου πρὸς
τοὺς πολίτας λοιδοροῦντας αὐτόν, ὅτι στρατηγὸς ὢν
7 πέφευγε· 'Μεθ' ὑμῶν γε, ὦ φίλαι κεφαλαί.' τὸ δ'
ἄγαν φυλακτέον ἐν τῷ γελοίῳ καὶ τὸ λυποῦν ἀκαίρως
τοὺς ἀκούοντας ἢ τὸν λέγοντα ποιοῦν ἀγεννῆ καὶ τα-
πεινόν, ὥσπερ τὰ Δημοκράτους· ἀναβαίνων μὲν γὰρ
εἰς τὴν ἐκκλησίαν ἔφη, καθάπερ ἡ πόλις, μικρὸν ἰσχύειν
καὶ μέγα φυσᾶν· ἐν δὲ τοῖς Χαιρωνικοῖς παρελθὼν εἰς
τὸν δῆμον· 'Οὐκ ἂν ἐβουλόμην κακῶς οὕτω πεπραγέναι
τὴν πόλιν, ὥστε κἀμοῦ συμβουλεύοντος ὑμᾶς ἀκούειν'·
καὶ γὰρ καὶ τοῦτο μικροῦ κἀκεῖνο μανικοῦ, πολιτικῷ
8 δ' οὐδ' ἕτερον ἁρμόζον. Φωκίωνος δὲ καὶ τὴν βρα-
χυλογίαν ἐθαύμαζον· ὁ γοῦν Πολύευκτος ἀπεφαίνετο

ῥήτορα μέγιστον εἶναι Δημοσθένην, δεινότατον δ' εἰ-
πεῖν Φωκίωνα· πλεῖστον γὰρ αὐτοῦ τὸν λόγον λέξει
βραχυτάτῃ νοῦν περιέχειν. καὶ ὁ Δημοσθένης τῶν
ἄλλων καταφρονῶν εἰώθει λέγειν ἀνισταμένου Φω-
κίωνος· ''Η τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται.'

Μάλιστα μὲν οὖν ἐσκεμμένῳ πειρῶ καὶ μὴ διακένῳ 9
τῷ λόγῳ χρῆσθαι πρὸς τοὺς πολλοὺς μετ' ἀσφαλείας,
εἰδὼς ὅτι καὶ Περικλῆς ἐκεῖνος ηὔχετο πρὸ τοῦ δημη-
γορεῖν μηδὲ ῥῆμα μηδὲν ἀλλότριον τῶν πραγμάτων
ἐπελθεῖν αὐτῷ. δεῖ δὲ ὅμως καὶ πρὸς τὰς ἀπαντήσεις
τὸν λόγον εὔστροφον ἔχειν καὶ γεγυμνασμένον· ὀξεῖς
γὰρ οἱ καιροὶ καὶ πολλὰ φέροντες ἐν ταῖς πολιτείαις
αἰφνίδια. διὸ καὶ Δημοσθένης ἠλαττοῦτο πολλῶν, ὥς
φασι, παρὰ τὸν καιρὸν ἀναδυόμενος καὶ κατοκνῶν·
Ἀλκιβιάδην δὲ ὁ Θεόφραστος ἱστορεῖ, μὴ μόνον ἃ δεῖ
λέγειν ἀλλὰ καὶ ὡς δεῖ βουλευόμενον, πολλάκις ἐν
αὐτῷ τῷ λέγειν ζητοῦντα καὶ συντιθέντα τὰς λέξεις
ἐνίσχεσθαι καὶ διαπίπτειν. ὁ δ' ὑπὸ τῶν πραγμάτων 10
αὐτῶν ἀνιστάμενος καὶ ὑπὸ τῶν καιρῶν ἐκπλήττει μά-
λιστα καὶ προσάγεται τοὺς πολλοὺς καὶ μετατίθησιν.
οἷον ὁ Βυζάντιος Λέων ἧκε δή ποτε τοῖς Ἀθηναίοις
στασιάζουσι διαλεξόμενος· ὀφθεὶς δὲ μικρὸς καὶ γελα-
σθείς· 'Τί δέ', εἶπεν, 'εἰ τὴν γυναῖκά μου θεάσαισθε
μόλις ἐξικνουμένην πρὸς τὸ γόνυ;' πλείων οὖν ἐγένετο
γέλως· ''Αλλ' ἡμᾶς', ἔφη, 'μικροὺς οὕτως ὄντας, ὅταν
διαφερώμεθα πρὸς ἀλλήλους, ἡ Βυζαντίων πόλις οὐ
χωρεῖ.' Πυθέας δὲ ὁ ῥήτωρ, ὅτε πρὸς τὰς Ἀλεξάνδρου
τιμὰς ἀντέλεγεν, εἰπόντος τινός 'Οὕτω σὺ νέος ὢν
περὶ πραγμάτων τολμᾷς λέγειν τηλικούτων;' 'Καὶ μὴν
Ἀλέξανδρος', εἶπεν, 'ἐμοῦ νεώτερός ἐστιν, ὃν ψηφίζεσθε
θεὸν εἶναι.'

11 *Δεῖ δὲ καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ πρὸς οὐ φαῦλον ἀλλὰ πάμμαχον ἀγῶνα τὸν τῆς πολιτείας ἠθληκότα κομίζειν τὸν λόγον, ὡς μὴ πολλάκις ἀπαγορεύοντα καὶ σβεννύμενον ὑπερβάλλῃ τις αὐτὸν*

Aristoph. Equ. 137 *„Ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων."*

Κάτων δέ, περὶ ὧν οὐκ ἤλπιζε πείσειν τῷ προκατέχεσθαι χάρισι καὶ σπουδαῖς τὸν δῆμον ἢ τὴν βουλήν, ἔλεγε τὴν ἡμέραν ὅλην ἀναστὰς καὶ τὸν καιρὸν οὕτως ἐξέκρουε. περὶ μὲν οὖν τῆς τοῦ λόγου παρασκευῆς καὶ χρείας ἱκανὰ ταῦτα τῷ δυναμένῳ τὸ ἀκόλουθον προσεξευρίσκειν.

X. Demosthenis oratoris initia.

(Plutarch. Dem. c. 6—8. cf. fasc. IV p. 22.)

1 *Ὡς γοῦν Δημοσθένης ἐν ἡλικίᾳ γενόμενος τοῖς*
ἐπιτρόποις ἤρξατο δικάζεσθαι καὶ λογογραφεῖν ἐπ' αὐ-
τοὺς πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας,
118 *ἐγγυμνασάμενος κατὰ τὸν Θουκυδίδην ταῖς μελέταις*
οὐκ ἀκινδύνως οὐδ' ἀργῶς, κατευτυχήσας ἐκπρᾶξαι μὲν
οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων, τόλμαν
δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν καὶ
γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυ-
νάμεως ἐπεχείρησεν εἰς μέσον παριέναι καὶ τὰ κοινὰ
2 *πράττειν. καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον*
λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις
μακροῖς χρῆσθαι τῶν ἰατρῶν κελευσάντων, εἶθ' οὕτως
διαπονήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις
ἀγῶσι καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων, οὕτως
τῷ Δημοσθένει συνέβη τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα
ν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ τούτου κτησα-

μένῳ δεινότητα καὶ δύναμιν ἐν τοῖς πολιτικοῖς ἤδη
καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ
βήματος ἀγωνιζομένων πολιτῶν. Καίτοι τό γε πρῶτον 3
ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε καὶ κατεγε-
λᾶτο δι' ἀήθειαν, τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις
καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ
κατακόρως δοκοῦντος. ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς
ἀσθένεια καὶ γλώττης ἀσάφεια καὶ πνεύματος κολοβό-
της ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ δια-
σπᾶσθαι τὰς περιόδους. τέλος δ' ἀποστάντα τοῦ δή- 4
μου καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὔνομος
ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπετίμησεν,
ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους προδί-
δωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτόν, οὔτε τοὺς
ὄχλους ὑφιστάμενος εὐθαρσῶς οὔτε τὸ σῶμα πρὸς τοὺς
ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινό-
μενον. Πάλιν δέ ποτέ φασιν ἐκπεσόντος αὐτοῦ καὶ 5
ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος
ἐπακολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν ἐπιτήδειον ὄντα
καὶ συνελθεῖν. ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς
αὐτόν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων
καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος
ἀκμὴν εἰς τοῦτο χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ
κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται
καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός, 'Ἀληθῆ
λέγεις, ὦ Δημόσθενες', φάναι τὸν Σάτυρον, 'ἀλλ' ἐγὼ
τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ
ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος.'
εἰπόντος δὲ τοῦ Δημοσθένους μεταλαβόντα τὸν Σά- 6
τυρον οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι
καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ

7 *Δημοσθένει φανῆναι. Πεισθέντα δ' ὅσον ἐκ τῆς ὑπο-*
κρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν
ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν ἀμελοῦντι
8 *τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. ἐκ τού-*
του κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ
διεσῴζετο καὶ καθ' ἡμᾶς, ἐνταῦθα δὲ πάντως μὲν ἑκά-
στης ἡμέρας κατιόντα πλάττειν τὴν ὑπόκρισιν καὶ δια-
πονεῖν τὴν φωνήν, πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο
καὶ τρεῖς συνάπτειν ξυρούμενον τῆς κεφαλῆς θάτερον
μέρος ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐν-
9 *δέχεσθαι δι' αἰσχύνην. Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς*
τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας ὑποθέσεις
ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. ἀπαλλαγεὶς γὰρ
αὐτῶν τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον καὶ
διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν
ἀπολογισμούς. ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγο-
μένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν εἰς γνώμας ἀνῆγε
καὶ περιόδους, ἐπανορθώσεις τε παντοδαπὰς καὶ μετα-
φράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρου πρὸς
10 *ἑαυτὸν ἢ ὑφ' αὑτοῦ πάλιν πρὸς ἄλλον. ἐκ τούτου*
δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὤν, ἀλλ' ἐκ πόνου συγκει-
μένῃ δεινότητι καὶ δυνάμει χρώμενος. ἐδόκει τε τού-
του σημεῖον εἶναι μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα
Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον
ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ
μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευ-
11 *ασμένος. εἰς τοῦτο δὲ ἄλλοι τε πολλοὶ τῶν δημαγω-*
γῶν ἐχλεύαζον αὐτὸν καὶ Πυθέας ἐπισκώπτων ἐλλυ-
χνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. τοῦτον μὲν
οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης· 'Οὐ ταὐτὰ γάρ'
εἶπεν 'ἐμοὶ καὶ σοί, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε.' πρὸς

δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψας οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. καὶ 12
μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν, τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

XI. Demosthenes suam rei publicae gerendae rationem cum Aeschinis fallaciis comparat.

(Demosth. XVIII 270—290.)

Aesch. III 57: *πάνυ προσδοκῶ ἐπιδείξειν τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων Δημοσθένην αἴτιον γεγενημένον.*

Βούλομαι τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς 1
ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τοῦτον τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ol. 112,3 a. Chr. 330
Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομάζειν βούλει, πάντων αἰτίαν γεγενῆσθαι. εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων με μηδὲ 2
φωνὴν ἀκηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρ', ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον, τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει τούτων αἰτίαν

3 ἡγεῖσθαι. σὺ τοίνυν ταῦτ' ἀφεὶς ἐμὲ τὸν παρὰ του-
τοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς ὅτι, καὶ
εἰ μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας
ἅπασι, καὶ μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν
αὐτοκράτωρ περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν
4 τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἔμ' αἰτιᾶσθαι· εἰ δὲ παρῆτε
μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις, ἀεὶ δ' ἐν κοινῷ τὸ
συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ'
ἐδόκει τότ' ἄριστ' εἶναι, καὶ μάλιστα σοί (οὐ γὰρ ἐπ'
εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τι-
μῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ,
ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι καὶ τῷ μηδὲν
ἔχειν εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς
τούτοις νῦν ἐγκαλῶν, ὧν τότ' οὐκ εἶχες λέγειν βελτίω;
5 παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώ-
ποις διωρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα. ἀδικεῖ
τις ἑκών· ὀργὴν καὶ τιμωρίαν κατὰ τούτου. ἐξήμαρτέ
τις ἄκων· συγγνώμην ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτ'
ἀδικῶν τις οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσιν δοκοῦντα
συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε μεθ' ἁπάντων·
οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον
6 ἀλλὰ συνάχθεσθαι. φανήσεται ταῦθ' οὕτως οὐ μόνον
τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νο-
μίμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης
τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους
ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυ-
χημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

7 Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ ἁπλῶς καὶ μετ' εὐ-
νοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ
τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσομαι μηδ' ἐξα-
πατήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ'

ὀνομάζων, ὡς, ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ', ὅτι γιγνώσκετε τοῦτον ἅπαντες καὶ πολὺ τούτῳ μᾶλλον ἢ 'μοὶ νομίζετε ταῦτα προσεῖναι. εἰ δ' ἔστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοι- 8
αύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον, οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων. οὐ γὰρ αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. οὔτε 9
γὰρ τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλ' οὐδὲν τῶν τοιούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὑτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πράως καὶ μετρίως διακείμεν' ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστὶ τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γὰρ γενναίου κἀγαθοῦ πολίτου. μηδενὸς δ' 10
ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὑτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. καί μοι δοκεῖς ἐκ τού- 11
των, Αἰσχίνη, λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ

ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ᾽ ὁ τόνος
τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς
καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν, οὕσπερ ἂν ἡ
12 πατρίς. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ᾽ εὐ-
νοίᾳ πάντ᾽ ἐρεῖ· ὁ δ᾽ ἀφ᾽ ὧν ἡ πόλις προορᾶταί τινα
κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων οὐκ ἐπὶ τῆς αὐτῆς
ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν
αὐτὴν ἔχει προσδοκίαν. ἀλλ᾽, ὁρᾷς; ἐγώ· ταὐτὰ γὰρ
συμφέρονθ᾽ εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ᾽
13 ἴδιον πεποίημαι. ἆρ᾽ οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως
Ol. 110, 3 a. Chr. 338 μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον,
ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος
τῇ πατρίδι, καὶ ταῦτ᾽ ἀρνούμενος πάντα τὸν ἔμπροσθε
χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασιν. καίτοι
τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ;
τῷ δ᾽ ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί
δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ᾽ ἀνδρὸς ῥή-
τορος, ἢ εἰ μὴ ταὐτὰ φρονεῖ καὶ λέγει; σὺ τοίνυν οὗτος
14 εὑρέθης. εἶτα σὺ φθέγγῃ καὶ βλέπειν εἰς τὰ τούτων
πρόσωπα τολμᾷς; πότερ᾽ οὐχ ἡγεῖ γιγνώσκειν αὐτούς,
ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν,
ὥστ᾽ οὐ μεμνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν
τῷ πολέμῳ, καταρώμενος καὶ διομνύμενος μηδὲν εἶναι
σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ᾽ ἐμὲ τὴν αἰτίαν σοι
ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ᾽ ἔχθρας, οὐκ οὖσαν
15 ἀληθῆ. ὡς δ᾽ ἀπηγγέλθη τάχισθ᾽ ἡ μάχη, οὐδὲν τού-
των φροντίσας εὐθέως ὡμολόγεις καὶ προσεποιοῦ φι-
λίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ
ταῦτα μετατιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης
ἢ δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμ-
πανιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φίλιππος;

ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς εἰλημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονὼς ἐμοὶ λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις.

Πολλὰ καὶ καλὰ καὶ μεγάλ' ἡ πόλις, Αἰσχίνη, καὶ 16
προείλετο καὶ κατώρθωσεν δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησεν. σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσιν οὐ σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς κἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταὔθ', ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησεν ἐμέ. τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ 17
φράσω σοι κἀγώ. ἀμφότερ' ᾔδεσαν αὐτοί, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ εὐθενούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ', ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμολογήσατε. τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν, ὧν ἐφρόνουν, λαβόντας ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσανθ' αὐτοῖς γεγενῆσθαι· εἶτα καὶ προσήκειν ὑπελάμβανον τὸν ἐροῦντα καὶ τὴν 18
ἐκείνων ἀρετὴν κοσμήσοντα μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ. διὰ ταῦτ' ἔμ' ἐχειροτό- 19

νησαν καὶ οὐχ ὑμᾶς. καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ πατέρες καὶ ἀδελφοὶ τῶν τετελευτηκότων ἄλλως πως, ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἆλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων, ἃ μήποτ' ὤφελον, τῆς ὑπὲρ πάντων λύπης πλεῖστον μετεῖχεν.

Λέγε δ' αὐτῷ τουτὶ τοὐπίγραμμα, ὃ δημοσίᾳ προείλεθ' ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. [Legitur elogium.]

Ἀκούεις, Αἰσχίνη, 'μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν'; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκεν δύναμιν, ἀλλὰ τοῖς θεοῖς. τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορεῖ καὶ λέγεις, ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

XII. Laudes historiae.

(Diodor. I c. 1. 2. cf. fasc. IX p. 34.)

1 Τοῖς τὰς κοινὰς ἱστορίας πραγματευσαμένοις μεγάλας χάριτας ἀπονέμειν δίκαιον πάντας ἀνθρώπους, ὅτι τοῖς ἰδίοις πόνοις ὠφελῆσαι τὸν κοινὸν βίον ἐφιλοτιμήθησαν· ἀκίνδυνον γὰρ διδασκαλίαν τοῦ συμφέροντος εἰσηγησάμενοι καλλίστην ἐμπειρίαν διὰ τῆς πραγματείας
2 ταύτης περιποιοῦσι τοῖς ἀναγινώσκουσιν. ἡ μὲν γὰρ ἐκ τῆς πείρας ἑκάστου μάθησις μετὰ πολλῶν πόνων

καὶ κινδύνων ποιεῖ τῶν χρησίμων ἕκαστα διαγινώσκειν, καὶ διὰ τοῦτο τῶν ἡρώων ὁ πολυπειρότατος μετὰ μεγάλων ἀτυχημάτων

'πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω'· Hom. α 3

ἡ δὲ διὰ τῆς ἱστορίας περιγινομένη σύνεσις τῶν ἀλλοτρίων ἀποτευγμάτων τε καὶ κατορθωμάτων ἀπείρατον κακῶν ἔχει τὴν διδασκαλίαν. καλὸν γὰρ τὸ δύνασθαι 3
τοῖς τῶν ἄλλων ἀγνοήμασι πρὸς διόρθωσιν χρῆσθαι παραδείγμασι, καὶ πρὸς τὰ συγκυροῦντα ποικίλως κατὰ τὸν βίον ἔχειν μὴ ζήτησιν τῶν πραττομένων ἀλλὰ μίμησιν τῶν ἐπιτετευγμένων. καὶ γὰρ τοὺς πρεσβυτάτους ταῖς ἡλικίαις ἅπαντες τῶν νεωτέρων προκρίνουσιν ἐν ταῖς συμβουλίαις διὰ τὴν ἐκ τοῦ χρόνου περιγεγενημένην αὐτοῖς ἐμπειρίαν· ἧς τοσοῦτον ὑπερέχειν συμβέβηκε τὴν ἐκ τῆς ἱστορίας μάθησιν, ὅσον καὶ τῷ πλήθει τῶν πραγμάτων προτεροῦσαν αὐτὴν ἐπεγνώκαμεν. διὸ καὶ πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην ἄν τις εἶναι νομίσειε τὴν ταύτης ἀνάληψιν. τοῖς 4
μὲν γὰρ νεωτέροις τὴν τῶν γεγηρακότων περιποιεῖ σύνεσιν, τοῖς δὲ πρεσβυτέροις πολλαπλασιάζει τὴν ὑπάρχουσαν ἐμπειρίαν, καὶ τοὺς μὲν ἰδιώτας ἀξίους ἡγεμονίας κατασκευάζει, τοὺς δ' ἡγεμόνας τῷ διὰ τῆς δόξης ἀθανατισμῷ προτρέπεται τοῖς καλλίστοις τῶν ἔργων ἐπιχειρεῖν, χωρὶς δὲ τούτων τοὺς μὲν στρατιώτας τοῖς μετὰ τὴν τελευτὴν ἐπαίνοις ἑτοιμοτέρους κατασκευάζει πρὸς τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, τοὺς δὲ πονηροὺς τῶν ἀνθρώπων ταῖς αἰωνίοις βλασφημίαις ἀποτρέπει τῆς ἐπὶ τὴν κακίαν ὁρμῆς.

Καθόλου δὲ διὰ τὴν ἐκ ταύτης ἐπ' ἀγαθῷ μνήμην 5
οἱ μὲν κτίσται πόλεων γενέσθαι προεκλήθησαν, οἱ δὲ νόμους εἰσηγήσασθαι περιέχοντας τῷ κοινῷ βίῳ τὴν

ἀσφάλειαν, πολλοὶ δ' ἐπιστήμας καὶ τέχνας ἐξευρεῖν
ἐφιλοτιμήθησαν πρὸς εὐεργεσίαν τοῦ γένους τῶν ἀν-
θρώπων. ἐξ ἁπάντων δὲ συμπληρουμένης τῆς εὐδαι-
μονίας, ἀποδοτέον τῶν ἐπαίνων τὸ πρωτεῖον τῇ τού-
6 των μάλιστ' αἰτίᾳ ἱστορίᾳ. ἡγητέον γὰρ εἶναι ταύτην
φύλακα μὲν τῆς τῶν ἀξιολόγων ἀρετῆς, μάρτυρα δὲ
τῆς τῶν φαύλων κακίας, εὐεργέτιν δὲ τοῦ κοινοῦ γέ-
νους τῶν ἀνθρώπων. εἰ γὰρ ἡ τῶν ἐν ᾅδου μυθο-
λογία τὴν ὑπόθεσιν πεπλασμένην ἔχουσα πολλὰ συμ-
βάλλεται τοῖς ἀνθρώποις πρὸς εὐσέβειαν καὶ δικαιοσύνην,
πόσῳ μᾶλλον ὑποληπτέον τὴν προφῆτιν τῆς ἀληθείας
ἱστορίαν, τῆς ὅλης φιλοσοφίας οἱονεὶ μητρόπολιν οὖσαν,
ἐπισκευάσαι δύνασθαι τὰ ἤθη μᾶλλον πρὸς καλοκάγα-
7 θίαν; πάντες γὰρ ἄνθρωποι διὰ τὴν τῆς φύσεως ἀσθέ-
νειαν βιοῦσι μὲν ἀκαριαῖόν τι μέρος τοῦ παντὸς αἰ-
ῶνος, τετελευτήκασι δὲ πάντα τὸν ὕστερον χρόνον,
καὶ τοῖς μὲν ἐν τῷ ζῆν μηδὲν ἀξιόλογον πράξασιν ἅμα
ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει καὶ τὰ
ἄλλα πάντα τὰ κατὰ τὸν βίον, τοῖς δὲ δι' ἀρετὴν περι-
ποιησαμένοις δόξαν αἱ πράξεις ἅπαντα τὸν αἰῶνα μνη-
μονεύονται, διαβοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας
8 στόματι. καλὸν δ', οἶμαι, τοῖς εὖ φρονοῦσι θνητῶν
πόνων ἀντικαταλλάξασθαι τὴν ἀθάνατον εὐφημίαν.
Ἡρακλῆς μὲν γὰρ ὁμολογεῖται πάντα τὸν γενόμενον
αὐτῷ κατ' ἀνθρώπους χρόνον ὑπομεῖναι μεγάλους καὶ
συνεχεῖς πόνους καὶ κινδύνους ἑκουσίως, ἵνα τὸ γένος
τῶν ἀνθρώπων εὐεργετήσας τύχῃ τῆς ἀθανασίας· τῶν
δὲ ἄλλων ἀγαθῶν ἀνδρῶν οἱ μὲν ἡρωικῶν, οἱ δὲ ἰσο-
θέων τιμῶν ἔτυχον, πάντες δὲ μεγάλων ἐπαίνων ἠξι-
ώθησαν, τὰς ἀρετὰς αὐτῶν τῆς ἱστορίας ἀπαθανατι-
9 ζούσης. τὰ μὲν γὰρ ἄλλα μνημεῖα διαμένει χρόνον

*ὀλίγον, ὑπὸ πολλῶν ἀναιρούμενα περιστάσεων, ἡ δὲ
τῆς ἱστορίας δύναμις ἐπὶ πᾶσαν τὴν οἰκουμένην διή-
κουσα τὸν πάντα τἆλλα λυμαινόμενον χρόνον ἔχει
φύλακα τῆς αἰωνίου παραδόσεως τοῖς ἐπιγινομένοις.*

Συμβάλλεται δ' αὕτη καὶ πρὸς λόγου δύναμιν, οὗ 10
*κάλλιον ἕτερον οὐκ ἄν τις ῥᾳδίως εὕροι. τούτῳ γὰρ
οἱ μὲν Ἕλληνες τῶν βαρβάρων, οἱ δὲ πεπαιδευμένοι
τῶν ἀπαιδεύτων προέχουσι, πρὸς δὲ τούτοις διὰ μόνου
τούτου δυνατόν ἐστιν ἕνα τῶν πολλῶν περιγενέσθαι·
καθόλου δὲ φαίνεται πᾶν τὸ προτεθὲν τοιοῦτον ὁποῖον
ἂν ἡ τοῦ λέγοντος δύναμις παραστήσῃ· καὶ τοὺς ἀγα-
θοὺς ἄνδρας ἀξίους λόγου προσαγορεύομεν, ὡς τοῦτο
τὸ πρωτεῖον τῆς ἀρετῆς περιπεποιημένους. εἰς πλείω* 11
*δὲ μέρη τούτου διῃρημένου, συμβαίνει τὴν μὲν ποιητι-
κὴν τέρπειν μᾶλλον ἤπερ ὠφελεῖν, τὴν δὲ νομοθεσίαν
κολάζειν, οὐ διδάσκειν, παραπλησίως δὲ καὶ τἆλλα
μέρη τὰ μὲν μηδὲν συμβάλλεσθαι πρὸς εὐδαιμονίαν,
τὰ δὲ μεμειγμένην ἔχειν τῷ συμφέροντι τὴν βλάβην,
ἔνια δὲ κατεψεῦσθαι τῆς ἀληθείας, μόνην δὲ τὴν ἱστο-
ρίαν, συμφωνούντων ἐν αὐτῇ τῶν λόγων τοῖς ἔργοις,
ἅπαντα τἆλλα χρήσιμα τῇ γραφῇ περιειληφέναι· ὁρᾶ-
σθαι γὰρ αὐτὴν προτρεπομένην ἐπὶ δικαιοσύνην, κατη-
γοροῦσαν τῶν φαύλων, ἐγκωμιάζουσαν τοὺς ἀγαθούς,
τὸ σύνολον ἐμπειρίαν μεγίστην περιποιοῦσαν τοῖς ἐν-
τυγχάνουσιν.*

XIII. Cum invidia atque obtrectatione et Thebanorum et ipsius Leonidae res in Thermopylis gestas ab Herodoto enarratas esse.

(Plutarch. de Herodoti malignitate c. 31. 32. vid. fasc. IV p. 22.)

I *Ἀριστοφάνους τοῦ Βοιωτοῦ γράψαντος, ὅτι χρήματα μὲν αἰτήσας Ἡρόδοτος οὐκ ἔλαβε παρὰ Θηβαίων, ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι καὶ συσχολάζειν ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι' ἀγροικίαν αὐτῶν καὶ μισολογίαν, ἄλλο μὲν οὐδέν ἐστι τεκμήριον· ὁ δὲ Ἡρόδοτος τῷ Ἀριστοφάνει μεμαρτύρηκε, δι' ὧν τὰ μὲν ψευδῶς, τὰ δὲ δι' ἀδικίαν, τὰ δὲ ὡς μισῶν καὶ διαφερόμενος τοῖς Θηβαίοις ἐγκέκληκε. Θεσσαλοὺς μὲν γὰρ ὑπ' ἀνάγκης ἀποφαίνεται μηδίσαι τὸ πρῶτον, ἀληθῆ λέγων· καὶ περὶ τῶν ἄλλων Ἑλλήνων μαντευόμενος ὡς προ-*

Herod. VII 139 *δόντων ἂν Λακεδαιμονίους ὑπεῖπεν, ὡς 'οὐχ ἑκόντων*

2 *ἀλλ' ὑπ' ἀνάγκης, ἁλισκομένων κατὰ πόλεις'. Θηβαίοις δὲ τῆς αὐτῆς ἀνάγκης οὐ δίδωσι τὴν αὐτὴν συγγνώμην, καίτοι πεντακοσίους μὲν εἰς τὰ Τέμπη καὶ Μναμίαν στρατηγὸν ἔπεμψαν, εἰς δὲ Θερμοπύλας ὅσους ᾔτησε Λεωνίδας· οἳ καὶ μόνοι σὺν Θεσπιεῦσι παρέμειναν αὐτῷ, τῶν ἄλλων ἀπολιπόντων μετὰ τὴν κύκλωσιν. ἐπεὶ δὲ τῶν παρόδων κρατήσας ὁ βάρβαρος ἐν τοῖς ὅροις ἦν καὶ Δημάρατος ὁ Σπαρτιάτης διὰ ξενίαν εὔνους ὢν Ἀτταγίνῳ τῷ προεστῶτι τῆς ὀλιγαρχίας διεπράξατο φίλον βασιλέως γενέσθαι καὶ ξένον, οἱ δὲ Ἕλληνες ἐν ταῖς ναυσὶν ἦσαν, πεζῇ δ' οὐδεὶς προσήλαυνεν, οὕτω προσεδέξαντο τὰς διαλύσεις, ὑπὸ τῆς*

3 *μεγάλης ἀνάγκης ἐγκαταληφθέντες. οὔτε γὰρ θάλασσα καὶ νῆες αὐτοῖς παρῆσαν ὡς Ἀθηναίοις, οὔτ' ἀπωτάτω κατῴκουν ὡς Σπαρτιᾶται τῆς Ἑλλάδος ἐν μυχῷ, μιᾶς*

δὲ ἡμέρας ὁδὸν καὶ ἡμισείας ἀπέχοντι τῷ Μήδῳ συστάντες ἐπὶ τῶν στενῶν καὶ διαγωνισάμενοι μετὰ μόνων Σπαρτιατῶν καὶ Θεσπιέων ἠτύχησαν. ὁ δὲ συγγραφεὺς οὕτως ἐστὶ δίκαιος, ὥστε 'Λακεδαιμονίους μὲν μονωθέντας καὶ γενομένους συμμάχων ἐρήμους τυχὸν ἄν φησιν ὁμολογίῃ χρῆσθαι πρὸς Ξέρξεα', Θηβαίοις δὲ τὸ αὐτὸ διὰ τὴν αὐτὴν ἀνάγκην παθοῦσι λοιδορεῖται. τὸ δὲ μέγιστον καὶ κάλλιστον ἔργον ἀνελεῖν μὴ 4
δυνηθεὶς ὡς οὐ πραχθὲν αὐτοῖς, αἰτίᾳ φαύλῃ καὶ ὑπονοίᾳ διαλυμαινόμενος ταῦτ' ἔγραφεν· 'Οἱ μέν νυν Herod. VII 222
ξύμμαχοι οἱ ἀποπεμπόμενοι ᾤχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ· Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι· κατεῖχε γάρ σφεας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος· Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐδαμᾶ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετὰ τούτου ἀπαλλάξεσθαι.' εἶτ' 5
οὐ δῆλός ἐστιν ἰδίαν τινὰ πρὸς Θηβαίους ἔχων ὀργὴν καὶ δυσμένειαν, ὑφ' ἧς οὐ μόνον διέβαλε ψευδῶς καὶ ἀδίκως τὴν πόλιν, ἀλλ' οὐδὲ τοῦ πιθανοῦ τῆς διαβολῆς ἐφρόντισεν, οὐδὲ ὅπως αὐτὸς ἑαυτῷ τὰ ἐναντία λέγων παρ' ὀλίγους ἀνθρώπους οὐ φανεῖται συνειδώς; προειπὼν γάρ, ὡς 'ὁ Λεωνίδης ἐπεί τ' ᾔσθετο ibid. 220
τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συγκινδυνεύειν, κελεῦσαι σφέας ἀπαλλάττεσθαι', πάλιν μετ' ὀλίγον λέγει τοὺς Θηβαίους ἄκοντας αὐτὸν κατασχεῖν, οὓς εἰκὸς ἦν ἀπελάσαι καὶ βουλομένους παραμένειν, εἰ μηδίζειν αἰτίαν εἶχον. ὅπου γὰρ οὐκ ἐδεῖτο τῶν μὴ προθύμων, τί χρήσιμον ἦν ἀναμεμεῖχθαι μαχομένοις ἀνθρώπους ὑπόπτους; οὐ γὰρ δὴ φρένας εἶχε 6
τοιαύτας ὁ τῶν Σπαρτιατῶν βασιλεὺς καὶ τῆς Ἑλλάδος

ἡγεμών, ὥστε κατέχειν ἐν ὁμήρων λόγῳ τοῖς τριακοσίοις τοὺς τετρακοσίους ὅπλα ἔχοντας, καὶ προσκειμένων ἔμπροσθεν ἤδη καὶ ὄπισθεν ἅμα τῶν πολεμίων· καὶ γὰρ εἰ πρότερον ἐν ὁμήρων λόγῳ ποιούμενος ἦγεν αὐτούς, ἔν γε τοῖς ἐσχάτοις εἰκὸς ἦν καιροῖς ἐκείνους τε Λεωνίδα μηδὲν φροντίσαντας ἀπαλλαγῆναι καὶ Λεωνίδαν δεῖσαι τὴν ὑπ' ἐκείνων μᾶλλον ἢ τῶν βαρβάρων κύκλωσιν. ἄνευ δὲ τούτων, πῶς οὐ γελοῖος ὁ Λεωνίδας τοὺς μὲν ἄλλους Ἕλληνας ἀπιέναι κελεύων ὡς αὐτίκα μάλα τεθνηξόμενος, Θηβαίους δὲ κωλύων, ὡς ὑπ' αὐτοῦ φυλάττοιντο τοῖς Ἕλλησιν ἀποθνήσκειν μέλλοντος; εἰ γὰρ ὡς ἀληθῶς ἐν ὁμήρων λόγῳ, μᾶλλον δ' ἀνδραπόδων, περιῆγε τοὺς ἄνδρας, οὐ κατέχειν ὤφειλεν αὐτοὺς μετὰ τῶν ἀπολουμένων, ἀλλὰ παρα-
7 *δοῦναι τοῖς ἀπιοῦσι τῶν Ἑλλήνων. ὃ δὲ λοιπὸν ἦν*
Herod. VII 220 extr. *τῶν αἰτίων εἰπεῖν, ὅτι ὡς ἀπολουμένους κατεῖχε, καὶ τοῦτο ἀνῄρηκεν ὁ συγγραφεύς, οἷς περὶ τῆς φιλοτιμίας τοῦ Λεωνίδου κατὰ λέξιν γράφει· 'ταῦτα δὲ δὴ ἐπιλεγόμενον Λεωνίδην καὶ βουλόμενον καταθέσθαι κλέος μούνων Σπαρτιητέων ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον ἢ τῇσι γνώμῃσι διενεχθέντας.' ὑπερβολὴ γὰρ εὐηθείας ἦν, ἧς ἀπήλαυνε δόξης τοὺς συμμάχους κατ-*
8 *έχειν μεθέξοντας τοὺς πολεμίους. ὅτι τοίνυν οὐ διεβέβλητο τοῖς Θηβαίοις ὁ Λεωνίδας, ἀλλὰ καὶ φίλους ἐνόμιζε βεβαίους, ἐκ τῶν πεπραγμένων δῆλόν ἐστι. καὶ γὰρ παρῆλθεν εἰς Θήβας ἄγων τὸ στράτευμα καὶ δεηθεὶς ἔτυχεν, οὗ μηδὲ εἷς ἄλλος, ἐν τῷ ἱερῷ κατακοιμηθῆναι τοῦ Ἡρακλέους, καὶ τὴν ὄψιν ἣν εἶδεν ὄναρ ἐξήγγειλε τοῖς Θηβαίοις· ἔδοξε γὰρ ἐν θαλάσσῃ πολὺν ἐχούσῃ καὶ τραχὺν κλύδωνα τὰς ἐπιφανεστάτας καὶ μεγίστας πόλεις τῆς Ἑλλάδος ἀνωμάλως διαφέρε-*

σθαι καὶ σαλεύειν, τὴν δὲ Θηβαίων ὑπερέχειν τε πασῶν καὶ μετέωρον ἀρθῆναι πρὸς τὸν οὐρανόν, εἶτ' ἐξαίφνης ἀφανῆ γενέσθαι· καὶ ταῦτα μὲν ἦν ὅμοια τοῖς ὕστερον χρόνῳ πολλῷ συμπεσοῦσι περὶ τὴν πόλιν.

Ὁ δὲ Ἡρόδοτος ἐν τῇ διηγήσει τῆς μάχης καὶ τοῦ II
Λεωνίδου τὴν μεγίστην ἠμαύρωκε πρᾶξιν, αὐτοῦ πεσεῖν πάντας εἰπὼν ἐν τοῖς στενοῖς περὶ τὸν Κολωνόν· ἐπράχθη δ' ἄλλως. ἐπεὶ γὰρ ἐπύθοντο νύκτωρ τὴν περίοδον τῶν πολεμίων, ἀναστάντες ἐβάδιζον ἐπὶ τὸ στρατόπεδον καὶ τὴν σκηνὴν ὀλίγου δεῖν βασιλέως ὡς ἐκεῖνον αὐτὸν ἀποκτενοῦντες καὶ περὶ ἐκείνῳ τεθνηξόμενοι· μέχρι μὲν οὖν τῆς σκηνῆς ἀεὶ τὸν ἐμποδὼν φονεύοντες, τοὺς δ' ἄλλους τρεπόμενοι προῆλθον· ἐπεὶ δ' οὐχ ηὑρίσκετο Ξέρξης, ζητοῦντες ἐν μεγάλῳ καὶ ἀχανεῖ στρατεύματι καὶ πλανώμενοι μόλις ὑπὸ τῶν βαρβάρων πανταχόθεν περιχυθέντων διεφθάρησαν. ὅσα 2
μὲν οὖν ἄλλα πρὸς τούτῳ τολμήματα καὶ ῥήματα τῶν Σπαρτιατῶν παραλέλοιπεν Ἡρόδοτος, ἐν τῷ Λεωνίδου βίῳ γραφήσεται· μικρὰ δ' οὐ χεῖρόν ἐστι καὶ νῦν διελθεῖν. ἀγῶνα μὲν γὰρ ἐπιτάφιον αὐτῷ ἠγωνίσαντο πρὸ τῆς ἐξόδου, καὶ τοῦτον ἐθεῶντο πατέρες αὐτῶν καὶ μητέρες· αὐτὸς δὲ ὁ Λεωνίδας πρὸς μὲν τὸν εἰπόντα παντελῶς ὀλίγους ἐξάγειν αὐτὸν ἐπὶ τὴν μάχην 'Πολλούς μέν', ἔφη, 'τεθνηξομένους.' πρὸς δὲ τὴν γυναῖκα πυνθανομένην ἐξιόντος, εἴ τι λέγοι, μεταστραφεὶς εἶπεν· 'Ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθὰ τίκτειν.'
ἐν δὲ Θερμοπύλαις μετὰ τὴν κύκλωσιν δύο τῶν ἀπὸ 3
γένους ὑπεξελέσθαι βουλόμενος ἐπιστολὴν ἐδίδου τῷ ἑτέρῳ καὶ ἔπεμπεν· ὁ δ' οὐκ ἐδέξατο φήσας μετ' ὀργῆς· 'Μαχατάς τοι, οὐκ ἀγγελιαφόρος εἱπόμαν'· τὸν δὲ ἕτερον ἐκέλευεν εἰπεῖν τι πρὸς τὰ τέλη τῶν Σπαρτιατῶν·

ὁ δὲ ἀπεκρίνατο τῷ πράγματι καὶ τὴν ἀσπίδα λαβὼν εἰς τάξιν κατέστη. ταῦτα οὐκ ἄν τις ἐπετίμησεν ἄλλου παραλιπόντος· ὁ δὲ τὴν τῶν ὄνων τοῦ κλέπτου προσέλασιν καὶ τὴν τῶν ἀσκῶν ἐπίδοσιν καὶ πολλὰ τοιαῦτα συναγαγὼν καὶ διαμνημονεύων οὐκ ἀμελείᾳ δόξειεν ἂν καὶ ὑπεροψίᾳ προΐεσθαι καλὰ μὲν ἔργα, καλὰς δὲ φωνάς, ἀλλ' οὐκ εὐμενὴς ὢν πρὸς ἐνίους οὐδὲ δίκαιος.

XIV. Falso Corinthios eorumque ducem Adimantum ab Herodoto in suspicionem vocari fugae ad Salamina factae.

(Plutarch. de Herodoti malignitate c. 39.)

1 *Φησὶν Ἡρόδοτος Ἀθηναίους λέγειν, ὡς Ἀδείμαντος*
Herod. VIII 94 *ὁ Κορινθίων στρατηγὸς ἐν χερσὶ τῶν πολεμίων γενομένων ὑπερεκπλαγεὶς καὶ καταδείσας ἔφευγεν, οὐ πρύμναν κρουσάμενος οὐδὲ διαδὺς ἀτρέμα διὰ τῶν μαχομένων, ἀλλὰ λαμπρῶς ἐπαιρόμενος τὰ ἱστία καὶ τὰς ναῦς ἁπάσας ἀποστρέψας· εἶτα μέντοι κέλης ἐλαυνόμενος αὐτῷ συνέτυχε περὶ τὰ λήγοντα τῆς Σαλαμινίας, ἐκ δὲ τοῦ κέλητος ἐφθέγξατό τις· 'Σὺ μέν, ὦ Ἀδείμαντε, φεύγεις καταπροδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, καθάπερ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν.' ὁ δὲ κέλης οὗτος ἦν, ὡς ἔοικεν, οὐρανοπετής· τί γὰρ ἔδει φείδεσθαι μηχανῆς τραγικῆς, ἐν πᾶσι τοῖς ἄλλοις ὑπερπαίοντα τοὺς τραγῳδοὺς ἀλαζονείᾳ; πιστεύσας οὖν ὁ Ἀδείμαντος 'ἐπανῆλθεν εἰς τὸ στρατόπεδον ἐπ' ἐξειργασμένοις· αὕτη φάτις ἔχει ὑπὸ Ἀθηναίων· οὐ μέντοι Κορίνθιοι* ὁμολογέουσιν, *ἀλλὰ ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρεῖ δέ*
2 *σφι καὶ ἡ ἄλλη Ἑλλάς.' τοιοῦτός ἐστιν ἐν πολλοῖς ὁ ἄνθρωπος· ἑτέρας καθ' ἑτέρων διαβολὰς καὶ κατηγορίας*

κατατίθησιν, ὅπως μὴ διαμάρτῃ τοῦ φανῆναί τινα πάντως πονηρόν· ὥσπερ ἐνταῦθα περίεστιν αὐτῷ πιστευομένης μὲν τῆς διαβολῆς Κορινθίους ἀδοξεῖν, ἀπιστουμένης δὲ Ἀθηναίους, ἣν οἶμαι μηδὲ Κορινθίων Ἀθηναίους, ἀλλὰ τοῦτον ἀμφοτέρων ὁμοῦ καταψεύδεσθαι. Θουκυδίδης γοῦν ἀντιλέγοντα ποιῶν τῷ Κορινθίῳ I 73 sqq.
τὸν Ἀθηναῖον ἐν Λακεδαίμονι καὶ πολλὰ περὶ τῶν Μηδικῶν λαμπρυνόμενον ἔργων καὶ περὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας οὐδεμίαν αἰτίαν προδοσίας ἢ λειποταξίας ἐπενήνοχε Κορινθίοις· οὐδὲ γὰρ εἰκὸς ἦν Ἀθη- 3
ναίους ταῦτα βλασφημεῖν περὶ τῆς Κορινθίων πόλεως, ἣν τρίτην μὲν ἑώρων μετὰ Λακεδαιμονίους καὶ μετ' αὐτοὺς ἐγχαραττομένην τοῖς ἀπὸ τῶν βαρβάρων ἀναθήμασιν· ἐν δὲ Σαλαμῖνι παρὰ τὴν πόλιν ἔδωκαν αὐτοῖς θάψαι τε τοὺς ἀποθανόντας ὡς ἄνδρας ἀγαθοὺς γενομένους καὶ ἐπιγράψαι τόδε τὸ ἐλεγεῖον·

'Ὦ ξένε, εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἄμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς.
ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυόμεθα.'

τὸ δ' ἐν Ἰσθμῷ κενοτάφιον ἐπιγραφὴν ἔχει ταύτην·

'Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι.'

Διοδώρου δέ τινος τῶν Κορινθίων τριηράρχων ἐν ἱερῷ Λητοῦς ἀναθήμασι κειμένοις καὶ τοῦτο ἐπιγέγραπται·

'Ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ' ἀνέθεν Λατοῖ, μνάματα ναυμαχίης.'

αὐτός γε μὴν ὁ Ἀδείμαντος, ᾧ πλεῖστα λοιδορούμενος 4
Ἡρόδοτος διατελεῖ καὶ λέγων 'μοῦνον ἀσπαίρειν τῶν Herod. VIII 5
στρατηγῶν ὡς φευξόμενον ἀπ' Ἀρτεμισίου καὶ μὴ περιμενοῦντα', σκόπει, τίνα δόξαν εἶχεν·

'Οὗτος Ἀδειμάντου κείνου τάφος, ὃν δία πᾶσα
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.'

οὔτε γὰρ τελευτήσαντι τοιαύτην εἰκὸς ἦν ἀνδρὶ δειλῷ καὶ προδότῃ γενέσθαι τιμήν, οὔτ' ἂν ἐτόλμησε τῶν θυγατέρων ὄνομα θέσθαι τῇ μὲν Ναυσινίκην, τῇ δ' Ἀκροθίνιον, τῇ δ' Ἀλεξιβίαν, Ἀριστέα δὲ καλέσαι τὸν υἱόν, εἰ μή τις ἦν ἐπιφάνεια καὶ λαμπρότης περὶ αὐτὸν ἀπὸ τῶν ἔργων ἐκείνων. καὶ μὴν ὅτι μόναι τῶν Ἑλληνίδων αἱ Κορίνθιαι γυναῖκες εὔξαντο τὴν καλὴν ἐκείνην καὶ δαιμόνιον εὐχήν, ἔρωτα τοῖς ἀνδράσι τῆς πρὸς τοὺς βαρβάρους μάχης ἐμβαλεῖν τὴν θεόν, οὐχ ὅπως τοὺς περὶ τὸν Ἡρόδοτον ἀγνοῆσαι πιθανὸν ἦν, ἀλλ' οὐδὲ τὸν ἔσχατον Καρῶν· διεβοήθη γὰρ τὸ πρᾶγμα, καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα χαλκῶν εἰκόνων ἀνασταθεισῶν ἐν τῷ ναῷ τῆς Ἀφροδίτης, ὃν ἱδρύσασθαι Μήδειαν λέγουσιν, οἱ μὲν αὐτὴν παυσαμένην τοῦ ἀνδρὸς ἐρῶσαν, οἱ δ' ἐπὶ τῷ τὸν Ἰάσονα τῆς Κρεοντίδος ἐρῶντα παῦσαι τὴν θεόν. τὸ δ' ἐπίγραμμα τοῦτό ἐστιν·

'Αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἰθυμάχων πολιητᾶν
ἔσταθεν εὐξάμεναι Κύπριδι δαιμόνια.
οὐ γὰρ τοξοφόροισιν ἐμήδετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.'

ταῦτ' ἔδει γράφειν καὶ τούτων μεμνῆσθαι μᾶλλον ἢ
Herod. VII 190 τὴν Ἀμεινοκλέους ἐμβαλεῖν παιδοφονίαν.

DIONYSIVS HALICARNASIVS

Alexandri filius confecto bello civili anno a. Chr. n. 30 Romam venit, ubi per duos et viginti annos arti rhetoricae operam dedit. composuit et antiquitatum Romanarum libros viginti, quorum undecim ad nostram memoriam pervenerunt, et multa scripta rhetorica, quibus iudicia et de historicis Graecis et de oratoribus Atticis proposuit. praeter ceteros Cn. Pompeio Gemino et Caecilio Calactino (cf. b II 6) familiariter usus est.

XVa. Logographi, Herodotus, Thucydides.

(De Thucyd. histor. iudicium c. 5—8.)

Μέλλων ἄρχεσθαι τῆς περὶ Θουκυδίδου γραφῆς 1
ὀλίγα βούλομαι περὶ τῶν ἄλλων συγγραφέων εἰπεῖν,
τῶν τε πρεσβυτέρων καὶ τῶν κατὰ τοὺς αὐτοὺς ἀκμα-
σάντων ἐκείνῳ χρόνους. ἐξ ὧν ἔσται καταφανὴς ἥ τε
προαίρεσις τοῦ ἀνδρός, ᾗ χρησάμενος διήλλαξε τῶν
πρὸ αὐτοῦ, καὶ ἡ δύναμις. ἀρχαῖοι μὲν οὖν συγγρα- 2
φεῖς πολλοὶ καὶ κατὰ πολλοὺς τόπους ἐγένοντο πρὸ
τοῦ Πελοποννησιακοῦ πολέμου· ἐν οἷς ἐστιν Εὐγέων
τε ὁ Σάμιος καὶ Δηίοχος ὁ Προκοννήσιος καὶ Εὔδημος
ὁ Πάριος καὶ Δημοκλῆς ὁ Φιγαλεὺς καὶ Ἑκαταῖος ὁ
Μιλήσιος ὅ τε Ἀργεῖος Ἀκουσίλαος καὶ ὁ Λαμψακηνὸς
Χάρων καὶ ὁ Χαλκηδόνιος Μελησαγόρας. ὀλίγῳ δὲ
πρεσβύτεροι τῶν Πελοποννησιακῶν καὶ μέχρι τῆς Θου-
κυδίδου παρεκτείναντες ἡλικίας Ἑλλάνικός τε ὁ Λέσβιος
καὶ Δαμάστης ὁ Σιγειεὺς καὶ Ξενομήδης ὁ Χῖος καὶ
Ξάνθος ὁ Λυδὸς καὶ ἄλλοι συχνοί. οὗτοι προαιρέσει 3
τε ὁμοίᾳ ἐχρήσαντο περὶ τὴν ἐκλογὴν τῶν ὑποθέσεων
καὶ δυνάμεις οὐ πολύ τι διαφερούσας ἔσχον ἀλλήλων,
οἱ μὲν τὰς Ἑλληνικὰς ἀναγράφοντες ἱστορίας, οἱ δὲ
τὰς βαρβαρικάς, καὶ αὐτὰς δὲ ταύτας οὐ συνάπτοντες

ἀλλήλαις, ἀλλὰ κατ' ἔθνη καὶ κατὰ πόλεις διαιροῦντες
καὶ χωρὶς ἀλλήλων ἐκφέροντες, ἕνα καὶ τὸν αὐτὸν
φυλάττοντες σκοπόν, ὅσαι διεσῴζοντο παρὰ τοῖς ἐπι-
χωρίοις μνῆμαι κατ' ἔθνη τε καὶ κατὰ πόλεις εἴτ' ἐν
ἱεροῖς εἴτ' ἐν βεβήλοις ἀποκείμεναι, γραφαῖς ταύτας
εἰς τὴν κοινὴν ἁπάντων γνῶσιν ἐξενεγκεῖν, οἵας παρ-
έλαβον, μήτε προστιθέντες αὐταῖς τι μήτ' ἀφαιροῦντες·
ἐν αἷς καὶ μῦθοί τινες ἐνῆσαν ὑπὸ τοῦ πολλοῦ πεπι-
στευμένοι χρόνου καὶ θεατρικαί τινες περιπέτειαι πολὺ
4 τὸ ἠλίθιον ἔχειν τοῖς νῦν δοκοῦσαι. λέξιν τε ὡς ἐπὶ
τὸ πολὺ τὴν αὐτὴν ἅπαντες ἐπετήδευσαν, ὅσοι τοὺς
αὐτοὺς προείλοντο τῶν διαλέκτων χαρακτῆρας, τὴν σαφῆ
καὶ κοινὴν καὶ καθαρὰν καὶ σύντομον καὶ τοῖς πράγ-
μασι προσφυῆ καὶ μηδεμίαν σκευωρίαν ἐπιφαίνουσαν
τεχνικήν· ἐπιτρέχει μέντοι τις ὥρα τοῖς ἔργοις αὐτῶν
καὶ χάρις, τοῖς μὲν πλείων, τοῖς δ' ἐλάττων· δι' ἣν ἔτι
5 μένουσιν αὐτῶν αἱ γραφαί. ὁ δ' Ἁλικαρνασεὺς Ἡρό-
δοτος, γενόμενος ὀλίγῳ πρότερον τῶν Περσικῶν, παρ-
εκτείνας δὲ μέχρι τῶν Πελοποννησιακῶν, τήν τε πραγ-
ματικὴν προαίρεσιν ἐπὶ τὸ μεῖζον ἐξήνεγκε καὶ λαμ-
πρότερον, οὔτε πόλεως μιᾶς οὔτ' ἔθνους ἑνὸς ἱστορίαν
προελόμενος ἀναγράψαι, πολλὰς δὲ καὶ διαφόρους πρά-
ξεις ἔκ τε τῆς Εὐρώπης ἔκ τε τῆς Ἀσίας ἐς μιᾶς περι-
6 γραφὴν πραγματείας ἀγαγεῖν. ἀρξάμενος οὖν ἀπὸ τῆς
τῶν Λυδῶν δυναστείας μέχρι τοῦ Περσικοῦ πολέμου
κατεβίβασε τὴν ἱστορίαν, πάσας τὰς ἐν τοῖς τετταρ-
ράκοντα καὶ διακοσίοις ἔτεσι γενομένας πράξεις ἐπιφα-
νεῖς Ἑλλήνων τε καὶ βαρβάρων μιᾷ συντάξει περιλαβών.
καὶ τῇ λέξει προσεπέδωκε τὰς παραληφθείσας ὑπὸ τῶν
πρὸ αὐτοῦ συγγραφέων ἀρετάς.

7 Τούτοις ἐπιγενόμενος Θουκυδίδης οὔτ' ἐφ' ἑνὸς

ἐβουλήθη τόπου καθιδρῦσαι τὴν ἱστορίαν, ὡς οἱ περὶ τὸν Ἑλλάνικον ἐποίησαν, οὔτε τὰς ἐξ ἁπάσης χώρας Ἕλλησιν ἢ βαρβάροις ἐπιτελεσθείσας πράξεις εἰς μίαν ἱστορίαν συναγαγεῖν, μιμησάμενος Ἡρόδοτον, τῆς μὲν προτέρας ὑπεριδὼν ὡς εὐτελοῦς καὶ ταπεινῆς καὶ πολλὰ οὐ δυνησομένης τοὺς ἀναγινώσκοντας ὠφελῆσαι, τῆς δὲ ὑστεραίας ὡς μείζονος ἢ δυνατῆς πεσεῖν εἰς σύνοψιν ἀνθρωπίνου λογισμοῦ κατὰ τὸν ἀκριβέστατον τῶν τρόπων· ἕνα δὲ προχειρισάμενος πόλεμον, ὃν ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς ἀλλήλους, τοῦτον ἐσπούδασεν ἀναγράψαι, ἐρρωμένος τε τὸ σῶμα καὶ τὴν διάνοιαν ὑγιαίνων καὶ μέχρι παντὸς αὐτοῦ βιώσας, καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων τὰς πράξεις συντιθείς, ἀλλ' οἷς μὲν αὐτὸς παρῆν, ἐξ ἐμπειρίας, ὧν δ' ἀπελείφθη διὰ τὴν φυγήν, παρὰ τῶν ἄριστα γινωσκόντων πυνθανόμενος. πρῶτον μὲν δὴ 8
κατὰ τοῦτο διήλλαξε τῶν πρὸ αὐτοῦ συγγραφέων, λέγω δὲ κατὰ τὸ λαβεῖν ὑπόθεσιν μήτε μονόκωλον παντάπασιν μηδ' εἰς πολλὰ μεμερισμένην καὶ ἀσυνάρτητα κεφάλαια· ἔπειτα κατὰ τὸ μηδὲν μυθῶδες προσάψαι μηδ' εἰς ἀπάτην καὶ γοητείαν τῶν πολλῶν ἐκτρέψαι τὴν γραφήν, ὡς οἱ πρὸ αὐτοῦ πάντες ἐποίησαν, Λαμίας τινὰς ἱστοροῦντες ἐν ὕλαις καὶ νάπαις ἐκ γῆς ἀνιεμένας καὶ Ναΐδας ἀμφιβίους ἐκ φρεάτων ἐξιούσας καὶ διὰ πελάγους νηχομένας καὶ μιξόθηρας καὶ ταύτας εἰς ὁμιλίαν ἀνθρώποις συνερχομένας καὶ ἐκ θνητῶν καὶ θείων συνουσιῶν γονὰς ἡμιθέους καὶ ἄλλας τινὰς ἀπίστους τῷ καθ' ἡμᾶς βίῳ καὶ πολὺ τὸ ἀνόητον ἔχειν δοκούσας ἱστορίας.

Ταῦτα δ' εἰπεῖν προήχθην οὐκ ἐπιτιμῶν ἐκείνοις 9
τοῖς ἀνδράσιν, ἀλλὰ καὶ πολλὴν ἔχων συγγνώμην, εἰ

καὶ τῶν μυθικῶν ἥψαντο πλασμάτων, ἐθνικάς τε καὶ
10 *τοπικὰς ἐκφέροντες ἱστορίας. ἐν ἅπασι γὰρ ἀνθρώποις, καὶ κοινῇ κατὰ τόπους καὶ κατὰ πόλεις ἰδίᾳ, μνῆμαί τινες ἐσῴζοντο καὶ τῶν τοιούτων ἀκουσμάτων, ὥσπερ ἔφην· ἃς διαδεχόμενοι παῖδες παρὰ πατέρων ἐπιμελὲς ἐποιοῦντο παραδιδόναι τοῖς ἐκγόνοις καὶ τοὺς βουλομένους αὐτὰς εἰς τὸ κοινὸν ἐκφέρειν οὕτως ἠξίουν*
11 *συγγράφειν, ὡς παρὰ τῶν ἀρχαίων ἐδέξαντο. ἐκείνοις μὲν οὖν τοῖς ἀνδράσιν ἀναγκαῖον ἦν ποικίλλειν τοῖς μυθώδεσιν ἐπεισοδίοις τὰς τοπικὰς ἀναγραφάς· Θουκυδίδῃ δὲ τῷ προελομένῳ μίαν ὑπόθεσιν, ᾗ παρεγίνετο αὐτός, οὐχ ἥρμοττεν ἐγκαταμειγνύειν τῇ διηγήσει τὰς θεατρικὰς γοητείας οὐδὲ πρὸς τὴν ἀπάτην ἁρμόττεσθαι τῶν ἀναγνωσομένων, ἣν ἐκεῖναι πεφύκασι φέρειν αἱ συντάξεις, ἀλλὰ πρὸς τὴν ὠφέλειαν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ τῆς ἱστορίας δεδήλωκε κατὰ λέξιν οὕτω γρά-*
12 *φων· ‘Καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐ-*
Thuc. I 22, 4 *τῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει· κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.’*

13 *Μαρτυρεῖται δὲ τῷ ἀνδρὶ τάχα μὲν ὑπὸ πάντων φιλοσόφων τε καὶ ῥητόρων, εἰ δὲ μή, τῶν γε πλείστων, ὅτι καὶ τῆς ἀληθείας, ἧς ἱερὰν εἶναι τὴν ἱστορίαν βουλόμεθα, πλείστην ἐποιήσατο πρόνοιαν, οὔτε προστιθεὶς τοῖς πράγμασιν οὐδέν, ὃ μὴ δίκαιον, οὔτ᾽ ἀφαιρῶν οὐδ᾽ ἐνεξουσιάζων τῇ γραφῇ, ἀνέγκλητον δὲ καὶ καθαρὰν τὴν προαίρεσιν ἀπὸ παντὸς φθόνου καὶ πάσης κολακείας φυλάσσων, μάλιστα δ᾽ ἐν ταῖς περὶ τῶν*

ἀγαθῶν ἀνδρῶν γνώμαις. καὶ γὰρ Θεμιστοκλέους ἐν 14
τῇ πρώτῃ βίβλῳ μνησθεὶς τὰς ὑπαρχούσας αὐτῷ ἀρετὰς ἀφθόνως ἐπελήλυθε· καὶ τῶν Περικλέους πολιτευμάτων ἁψάμενος ἐν τῇ δευτέρᾳ βίβλῳ τῆς διαβεβοημένης περὶ αὐτοῦ δόξης ἄξιον εἴρηκεν ἐγκώμιον· περί τε Δημοσθένους τοῦ στρατηγοῦ καὶ Νικίου τοῦ Νικηράτου καὶ Ἀλκιβιάδου τοῦ Κλεινίου καὶ ἄλλων στρατηγῶν τε καὶ ῥητόρων ἀναγκασθεὶς λέγειν, ὅσα προσήκοντα ἦν ἑκάστῳ, δεδήλωκε. παραδείγματα δὲ περὶ αὐτῶν φέρειν οὐ
δέομαι τοῖς διεληλυθόσιν αὐτοῦ τὰς ἱστορίας. ταῦτα 15
μὲν οὖν ἂν ἔχοι τις εἰπεῖν, ἃ περὶ τὸν πραγματικὸν τόπον ὁ συγγραφεὺς κατορθοῖ, καλὰ καὶ μιμήσεως ἄξια. κράτιστον δὲ πάντων τὸ μηδὲν ἑκουσίως ψεύδεσθαι μηδὲ μιαίνειν τὴν αὐτοῦ συνείδησιν.

XVb. Herodotus et Thucydides inter se comparantur.

(Epist. ad Pompeium c. 3.)

Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡρο- I
δότου καὶ Θουκυδίδου ταῦτα φρονῶ. πρῶτόν τε καὶ σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γράφουσιν πᾶσιν ἱστορίας ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις. τοῦτο Ἡρόδοτος
κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. ἐκεῖνος 2
μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν πρά-
ξεων ἐξενήνοχεν ἱστορίαν, ‛ὡς μήτε τὰ γενόμενα ἐξ Herod. I 1
ἀνθρώπων ἐξίτηλα γένηται, μήτε ἔργα' καὶ ἅπερ αὐτὸς εἴρηκε. τὸ γὰρ αὐτὸ προοίμιον καὶ ἀρχὴ καὶ τέλος
ἐστὶ τῆς ἱστορίας. ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα γράφει, 3
καὶ τοῦτον οὔτε καλὸν οὔτε εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι, εἰ δὲ μή, σιωπῇ καὶ λήθῃ παρα-

δοθεὶς ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. ὅτι δὲ
πονηρὰν εἴληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ
4 φανερὸν ἐν τῷ προοιμίῳ· πόλεις τε γὰρ δι' αὐτὸν
Thuc. I 23,2 sqq. ἐξερημωθῆναί φησι πολλὰς Ἑλληνίδας, τὰς μὲν ὑπὸ
βαρβάρων, τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγαδείας
καὶ φθόρους ἀνθρώπων ὅσους οὔπω πρότερον γενέ-
σθαι, σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους καὶ ἄλ-
λας πολλὰς συμφοράς· ὥστε τοὺς ἀναγνόντας τὸ
προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλλη-
5 νικῶν μέλλοντας ἀκούειν κακῶν. ὅσῳ δὲ κρείττων ἡ τὰ
θαυμαστὰ ἔργα δηλοῦσα Ἑλλήνων τε καὶ βαρβάρων
γραφὴ τῆς τὰ οἰκτρὰ καὶ δεινὰ πάθη τῶν Ἑλλήνων
διαγγελλούσης, τοσούτῳ φρονιμώτερος Ἡρόδοτος Θου-
κυδίδου κατὰ τὴν ἐκλογὴν τῆς ὑποθέσεως. οὐδὲ γὰρ
οὐδὲ τοῦτο ἔνεστιν εἰπεῖν, ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ
ταύτην τὴν γραφήν, ἐπιστάμενος μὲν ὄντα ἐκεῖνα
καλλίω, βουλόμενος δὲ μὴ ταὐτὰ ἑτέροις γράφειν· πᾶν
γὰρ τοὐναντίον ἐν τῷ προοιμίῳ διασύρων τὰ παλαιὰ
ἔργα κάλλιστα καὶ θαυμασιώτατα τὰ καθ' αὑτὸν ἐπι-
τελεσθέντα φησὶν εἶναι, καὶ φανερός ἐστι ταῦτα ἑκὼν
6 ἑλόμενος. οὐ μὴν Ἡρόδοτός γε τοῦτ' ἐποίησεν, ἀλλὰ
τῶν πρὸ αὐτοῦ συγγραφέων γενομένων Ἑλλανίκου τε
καὶ Χάρωνος τὴν αὐτὴν ὑπόθεσιν προεκδεδωκότων
οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὑτῷ κρεῖσσόν τι
ἐξοίσειν· ὅπερ καὶ πεποίηκεν.

7 Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον
γνῶναι, πόθεν τε ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν
δεῖ. φαίνεται δὴ κἀν τούτῳ Θουκυδίδου πολὺ Ἡρό-
δοτος φρονιμώτερος· ἄρχεταί τ' ἀφ' ἧς αἰτίας ἤρξαντο
πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι, καὶ
προελθὼν εἰς τὴν τῶν βαρβάρων κόλασιν καὶ τιμωρίαν

λήγει. ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο, ἀφ' ἧς 8
ἤρξατ' οὐ καλῶς πράττειν τὸ Ἑλληνικόν, ὅπερ Ἕλληνα
ὄντα καὶ Ἀθηναῖον οὐκ ἔδει ποιεῖν (καὶ ταῦτα οὐ τῶν
ἀπερριμμένων ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον Ἀθηναῖοι
στρατηγιῶν τε καὶ τῶν ἄλλων τιμῶν ἀξιοῦντες), καὶ
οὕτω γε φθονερῶς, ὥστε καὶ τῇ πόλει τῇ ἑαυτοῦ τὰς
φανερὰς αἰτίας τοῦ πολέμου περιάπτειν, ἑτέρας ἔχοντα
πολλὰς ἀφορμάς, ἔδει δ' ἄρξασθαί γε τῆς διηγήσεως
μὴ ἀπὸ τῶν Κερκυραϊκῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων
τῆς πατρίδος ἔργων· ἃ μετὰ τὸν Περσικὸν πόλεμον
εὐθὺς ἔπραξεν (ὧν ὕστερον οὐκ ἐν ἐπιτηδείῳ τόπῳ
μνήμην ἐποιήσατο φαύλως πως καὶ ἐξ ἐπιδρομῆς),
διελθόντα δὲ ταῦτα μετὰ πολλῆς εὐνοίας ὡς ἄνδρα
φιλόπολιν ἔπειτ' ἐπενεγκεῖν, ὅτι τούτων φθόνῳ καὶ
δέει προελθόντες Λακεδαιμόνιοι προφάσεις ὑποθέντες
ἑτεροίας ἦλθον ἐπὶ τὸν πόλεμον, καὶ τότε λέγειν τὰ
Κερκυραϊκὰ καὶ τὸ κατὰ Μεγαρέων ψήφισμα καὶ εἴ τι
ἄλλο τοιοῦτο λέγειν ἐβούλετο. τὰ δ' ἐν τέλει πλείονος 9
ἁμαρτίας πλήρη· καίπερ γὰρ λέγων, ὅτι παντὶ τῷ πολέμῳ
παρεγένετο, καὶ πάντα δηλώσειν ὑποσχόμενος εἰς τὴν
ναυμαχίαν τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην
Ἀθηναίων καὶ Πελοποννησίων, ᾗ συνέβη κατὰ ἔτος
εἰκοστὸν καὶ δεύτερον. κρεῖττον δὲ ἦν διεξελθόντα
πάντα τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιω-
τάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην, τὴν
κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς, ἀφ' ὧν ἡ
πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἐκομίσατο.

Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ σκοπεῖν, τίνα τε 10
δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα καὶ τίνα
παραλιπεῖν. δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θου-
κυδίδης. συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος

ἔχουσα πολὺ διήγησις, ἂν μὲν ἀναπαύσεις τινὰς λαμ-
βάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν,
ἐὰν δ' ἐπὶ τῶν αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μά-
λιστα ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποι-
κίλην ἐβουλήθη ποιῆσαι τὴν γραφὴν Ὁμήρου ζηλωτὴς
γενόμενος· καὶ γὰρ τὸ βιβλίον ἣν αὐτοῦ λάβωμεν,
μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα καὶ ἀεὶ τὸ πλέον
11 ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα κατατείνας
ἀπνευστὶ διεξέρχεται μάχας ἐπὶ μάχαις καὶ παρασκευὰς
ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς· ὥστε
μοχθεῖν μὲν τὴν διάνοιαν τῶν ἀκροωμένων, κόρον δ'
Nem. 7, 52 ὑπέρχεσθαι· 'κόρον δ' ἔχει' φησὶν ὁ Πίνδαρος 'καὶ
μέλι καὶ τὰ τέρπν' ἄνθε' ἀφροδίσια.' ἤδη δ' ὃ λέγω
κἀκεῖνος ἐνεθυμήθη, ὡς ἡδὺ χρῆμα ἐν ἱστορίας γραφῇ
μεταβολὴ καὶ ποικιλία, καὶ τοῦτ' ἐν δύο ἢ τρισὶ τόποις
Thuc. II 97 ἐποίησεν, ἐπί τε τῆς Ὀδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας
VI 2—5 ἐγένετο μεγάλη, καὶ ἐπὶ τῶν ἐν Σικελίᾳ πόλεων.

12 Μετὰ τοῦτο ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε καὶ
τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. πῶς
οὖν ἑκάτερος διαιρεῖται καὶ τάττει τὰ λεγόμενα; Θου-
κυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος δὲ
ταῖς περιοχαῖς τῶν πραγμάτων. καὶ γίγνεται Θουκυδί-
δης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ
κατὰ τὸ αὐτὸ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων
ἐν διαφόροις ὡς εἰκὸς τόποις, ἡμιτελεῖς τὰς πρώτας
πράξεις καταλιπὼν ἑτέρων ἅπτεται. πλανώμεθα δή,
καθάπερ εἰκός, καὶ δυσκόλως τοῖς δηλουμένοις παρ-
13 ακολουθοῦμεν ταραττομένης τῆς διανοίας. Ἡρόδοτος
δ' ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ μέχρι τῆς
Κροίσου καταβὰς ἐπὶ Κῦρον εὐθέως τὸν καταλύσαντα
τὴν Κροίσου ἀρχὴν μεταβαίνει, Αἰγυπτίων τ' ἄρχεται

διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δ' ὡς ἐπιζητούμενα προσαναλαμβάνων, τὰ δ' ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων τε καὶ βαρβάρων ἔτεσιν ὁμοῦ διακοσίοις καὶ εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις οὐ διέσπασε τὴν διήγησιν· ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.

Μιᾶς δ' ἰδέας ἐπιμνησθήσομαι πραγματικῆς, ἣν 14
οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ᾗ κέχρηται πρὸς τὰ πράγματα, περὶ ὧν γράφει· ἡ μὲν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. τὰ μὲν γὰρ ἁμαρτήματα ἐπεξέρχεται καὶ μάλα ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχωρηκότων ἢ καθάπαξ οὐ μέμνηται ἢ ὥσπερ ἠναγκασμένος.

Καὶ κατὰ μὲν τὸν πραγματικὸν τύπον ἥττων ἐστὶν II
Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.

Πρώτη τῶν ἀρετῶν γένοιτ' ἄν, ἧς χωρὶς οὐδὲ τῶν 2
ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελός τι, ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σῴζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι· Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανὼν Θουκυδίδης τε τῆς Ἀτ-
θίδος. [hic desunt nonnulla, quae ad σαφήνειαν 3
spectant.] τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία·

ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης· καίτοι
λέγοι τις ἄν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἡδὺ
φαίνεται τὸ βραχύ, εἰ δὲ ἀπολείποιτο τούτου, πικρόν.
ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μὲν τῶν ἐπιθέ-
των ἀρετῶν· ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι.
4 μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν ἠθῶν τε καὶ παθῶν
μίμησις· διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς·
Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρό-
δοτος δὲ τά γ' ἤθη παραστῆσαι δεινότερος. μετὰ ταῦτα
αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς
5 ἀρεταί· ἴσοι κἀν ταύταις οἱ συγγραφεῖς. ἕπονται ταύ-
ταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους
δυνάμεις τῆς φράσεως ἀρεταὶ περιέχουσαι· κρείττων
ἐν ταύταις Ἡροδότου Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ
καὶ τέρψιν καὶ τὰς ὁμογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ
Θουκυδίδου κρείττονας Ἡρόδοτος. τῆς δὲ φράσεως τὸ
μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θου-
6 κυδίδης. λείπει πασῶν ἐν λόγοις ἀρετῶν ἡ κυριωτάτη
τὸ πρέπον· ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ μᾶλλον ἢ Θου-
κυδίδης· ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι, κἂν ταῖς δημη-
γορίαις μᾶλλον ἢ ταῖς διηγήσεσιν· ἐμοὶ μέντοι καὶ τῷ
φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μάλιστα
7 μιμήσασθαί τε καὶ ζηλῶσαι Δημοσθένης. Ἵνα δὲ
συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι (οὐ
γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων), διαφέρουσι
δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου
κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη
ταῦτα εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν
καὶ ἄλλων ἐνόντων λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται
καιρός.

XVI. De miseria doctorum hominum, qui mercede sunt conducti.

(Lucian. de merc. cond. c. 10—21. cf. fasc. II p. 20.)

Φέρε ἤδη πρὸς ἡμᾶς αὐτοὺς ἐπισκοπήσωμεν, οἷα 1
μὲν πρὸ τοῦ εἰσδεχθῆναι καὶ τυχεῖν ὑπομένουσιν [scil.
οἱ ἐπὶ μισθῷ συνόντες], οἷα δὲ ἐν αὐτῷ ἤδη ὄντες
πάσχουσιν, ἐπὶ πᾶσι δὲ ἥτις αὐτοῖς ἡ καταστροφὴ τοῦ
δράματος γίγνεται· οὐ γὰρ δὴ ἐκεῖνό γε εἰπεῖν ἔστιν,
ὡς, εἰ καὶ πονηρὰ ταῦτα, εὔληπτα γοῦν, καὶ οὐ πολλοῦ
δεήσει τοῦ πόνου, ἀλλὰ θελῆσαι δεῖ μόνον, εἶτά σοι
πέπρακται τὸ πᾶν εὐμαρῶς· ἀλλὰ πολλῆς μὲν τῆς δια- 2
δρομῆς, συνεχοῦς δὲ τῆς θυραυλίας, ἕωθέν τε ἐξανι-
στάμενον περιμένειν ὠθούμενον καὶ ἀποκλειόμενον καὶ
ἀναίσχυντον ἐνίοτε καὶ ὀχληρὸν δοκοῦντα ὑπὸ θυρωρῷ
κακῶς συρίζοντι καὶ ὀνομακλήτορι Λιβυκῷ ταττόμενον
καὶ μισθὸν τελοῦντα τῆς μνήμης τοῦ ὀνόματος· καὶ
μὴν καὶ ἐσθῆτος ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν ἐπι-
μεληθῆναι χρὴ πρὸς τὸ τοῦ θεραπευομένου ἀξίωμα καὶ
χρώματα αἱρεῖσθαι, οἷς ἂν ἐκεῖνος ἥδηται, ὡς μὴ ἀπᾴ-
δῃς μηδὲ προσκρούῃς βλεπόμενος, καὶ φιλοπόνως ἕπε-
σθαι, μᾶλλον δὲ ἡγεῖσθαι ὑπὸ τῶν οἰκετῶν προωθού-
μενον καὶ ὥσπερ τινὰ πομπὴν ἀναπληροῦντα. ὁ δὲ
οὐδὲ προσβλέπει πολλῶν ἑξῆς ἡμερῶν. ἢν δέ ποτε 3
καὶ τὰ ἄριστα πράξῃς, καὶ ἴδῃ σε καὶ προσκαλέσας
ἔρηταί τι ὧν ἂν τύχῃ, τότε δὴ τότε πολὺς μὲν ὁ ἱδρώς,
ἀθρόος δὲ ὁ ἴλιγγος καὶ τρόμος ἄκαιρος καὶ γέλως
τῶν παρόντων ἐπὶ τῇ ἀπορίᾳ· καὶ πολλάκις ἀποκρίνα-
σθαι δέον, τίς ἦν ὁ βασιλεὺς τῶν Ἀχαιῶν, ὅτι χίλιαι
νῆες ἦσαν αὐτοῖς, λέγεις. τοῦτο οἱ μὲν χρηστοὶ αἰδῶ
ἐκάλεσαν, οἱ δὲ τολμηροὶ δειλίαν, οἱ δὲ κακοήθεις

ἀπαιδευσίαν. σὺ δ' οὖν ἐπισφαλεστάτης πειραθεὶς τῆς πρώτης φιλοφροσύνης ἀπῆλθες καταδικάσας σεαυτοῦ
4 πολλὴν τὴν ἀπόγνωσιν. ἐπειδὰν δὲ

[Hom. Il. I 325] 'πολλὰς μὲν ἀύπνους νύκτας ἰαύσῃς,
ἤματα δ' αἱματόεντα'

διαγάγῃς, οὐ μὰ Δία τῆς Ἑλένης ἕνεκα οὐδὲ τῶν Πριάμου Περγάμων, ἀλλὰ τῶν ἐλπιζομένων πέντε ὀβολῶν, ἐξέτασις τοὐντεῦθεν, εἰ οἶσθα τὰ μαθήματα· καὶ τῷ μὲν πλουσίῳ ἡ διατριβὴ οὐκ ἀηδὴς ἐπαινουμένῳ καὶ εὐδαιμονιζομένῳ, σοὶ δὲ ὁ ὑπὲρ τῆς ψυχῆς ἀγὼν καὶ ὑπὲρ ἅπαντος τοῦ βίου τότε προκεῖσθαι δοκεῖ· ὑπεισέρχεται γὰρ εἰκότως τὸ μηδ' ὑπ' ἄλλου ἂν καταδεχθῆναι πρὸς τοῦ προτέρου ἀποβληθέντα καὶ δόξαντα εἶναι
5 ἀδόκιμον. ἀνάγκη τοίνυν ἐς μυρία διαιρεθῆναι τότε τοῖς μὲν ἀντεξεταζομένοις φθονοῦντα — τίθει γὰρ καὶ ἄλλους εἶναι τῶν αὐτῶν ἀντιποιουμένους —, αὐτὸν δὲ πάντα ἐνδεῶς εἰρηκέναι νομίζοντα, φοβούμενον δὲ καὶ ἐλπίζοντα καὶ πρὸς τὸ ἐκείνου πρόσωπον ἀτενίζοντα καί, εἰ μὲν ἐκφαυλίζοι τι τῶν λεγομένων, ἀπολλύμενον, εἰ δὲ μειδιῶν ἀκούοι, γεγηθότα καὶ εὔελπιν καθιστάμενον. εἰκὸς δὲ πολλοὺς εἶναι τοὺς ἐναντία σοι φρονοῦντας καὶ ἄλλους ἀντὶ σοῦ τιθεμένους, ὧν ἕκαστος
6 ὥσπερ ἐκ λόχου τοξεύων λέληθεν. χρὴ τοίνυν πολλὰ εὐτυχῆσαι καὶ μηδὲν ὅλως ἐναντιωθῆναι· μόνως γὰρ ἂν οὕτως κρατήσειας. εἶεν, καὶ δὴ εὐτύχηταί σοι πάντα τῆς εὐχῆς μειζόνως· αὐτός τε γὰρ ἐπῄνεσε τοὺς λόγους καὶ τῶν φίλων οἱ ἐντιμότατοι καὶ οἷς μάλιστα πιστεύει τὰ τοιαῦτα οὐκ ἀπέτρεψαν· ἔτι δὲ καὶ ἡ γυνὴ βούλεται, οὐκ ἀντιλέγει δὲ οὔτε ὁ ἐπίτροπος οὔτε ὁ οἰκονόμος· οὐδέ τις ἐμέμψατό σου τὸν βίον, ἀλλὰ πάντα ἵλεω καὶ πανταχόθεν αἴσια τὰ ἱερά. κεκράτηκας οὖν,

ὦ μακάριε, καὶ ἔστεψαι τὰ Ὀλύμπια, μᾶλλον δὲ Βαβυ-
λῶνα εἴληφας ἢ τὴν Σάρδεων ἀκρόπολιν καθῄρηκας
καὶ ἕξεις τὸ τῆς Ἀμαλθείας κέρας καὶ ἀμέλξεις ὀρνίθων
γάλα. ἐχρῆν μὲν οὕτως καὶ οὐδὲν ἂν ἦν μέγα κακόν, 7
ὑποκύψαντα φέρειν τὸν ζυγὸν ἐλαφρόν τε καὶ εὔφορον
καὶ τὸ μέγιστον ἐπίχρυσον ὄντα. ἀλλὰ πολλοῦ, μᾶλ-
λον δὲ τοῦ παντὸς δεῖ· μυρία γάρ ἐστιν ἀφόρητα ἐλευ-
θέρῳ ἀνδρὶ ἐν αὐταῖς ἤδη ταῖς συνουσίαις γιγνόμενα.
σκέψαι δὲ αὐτὸς ἑξῆς ἀκούων, εἴ τις ἂν αὐτὰ ὑπομεῖναι
δύναιτο παιδείᾳ κἂν ἐπ' ἐλάχιστον ὡμιληκώς.
Ἄρξομαι δὲ ἀπὸ τοῦ πρώτου δείπνου, ἣν δοκῇ, ὃ 8
σε εἰκὸς δειπνήσειν τὰ προτέλεια τῆς μελλούσης ξυνου-
σίας. εὐθὺς οὖν πρόσεισι παραγγέλλων τις ἥκειν ἐπὶ
τὸ δεῖπνον, οὐκ ἀνομίλητος οἰκέτης, ὃν χρὴ πρῶτον
ἵλεων ποιήσασθαι, παραβύσαντα ἐς τὴν χεῖρα, ὡς μὴ
ἀδέξιος εἶναι δοκῇς, τοὐλάχιστον πέντε δραχμάς· ὁ δὲ
ἀκκισάμενος καί, 'ἄπαγε, παρὰ σοῦ δὲ ἐγώ;' καί, "Ἡρά-
κλεις μὴ γένοιτο', ὑπειπὼν τέλος ἐπείσθη, καὶ ἄπεισί
σοι πλατὺ ἐγχανών· σὺ δὲ ἐσθῆτα καθαρὰν προχειρι- 9
σάμενος καὶ σεαυτὸν ὡς κοσμιώτατα σχηματίσας λου-
σάμενος ἥκεις δεδιὼς μὴ πρὸ τῶν ἄλλων ἀφίκοιο·
ἀπειρόκαλον γάρ, ὥσπερ καὶ τὸ ὕστατον ἥκειν φορτικόν.
αὐτὸ οὖν τηρήσας τὸ μέσον τοῦ καιροῦ εἰσελήλυθας,
καί σε πάνυ ἐντίμως ἐδέξαντο, καὶ παραλαβών τις
κατέκλινε μικρὸν ὑπὲρ τοῦ πλουσίου μετὰ δύο που
σχεδὸν τῶν παλαιῶν φίλων. σὺ δ' ὥσπερ ἐς τοῦ Διὸς
τὸν οἶκον παρελθὼν πάντα τεθαύμακας καὶ ἐφ' ἑκάστῳ
τῶν πραττομένων μετέωρος εἶ· ξένα γάρ σοι καὶ ἄγνω-
στα πάντα· καὶ ἥ τε οἰκετεία εἰς σὲ ἀποβλέπει καὶ τῶν
παρόντων ἕκαστος ὅ τι πράξεις ἐπιτηροῦσιν. ὥσπερ 10
οὖν εἰκός, ἰδίειν τε ἀνάγκη ὑπ' ἀπορίας καὶ μήτε δι-

ψῶντα πιεῖν αἰτεῖν τολμᾶν, μὴ δόξῃς οἰνόφλυξ τις
εἶναι, μήτε τῶν ὄψων παρατεθέντων ποικίλων καὶ πρός
τινα τάξιν ἐσκευασμένων εἰδέναι ἐφ' ὅ τι πρῶτον ἢ
δεύτερον τὴν χεῖρα ἐνέγκῃς· ὑποβλέπειν οὖν ἐς τὸν
πλησίον δεήσει κἀκεῖνον ζηλοῦν καὶ μανθάνειν τοῦ
δείπνου τὴν ἀκολουθίαν. φιλοτησίαι τὸ ἐπὶ τούτῳ,
καὶ σκύφον εὐμεγέθη τινὰ αἰτήσας προὔπιέ σοι τῷ
διδασκάλῳ, ἢ ὁτιδήποτε προσειπών· σὺ δὲ λαβών, ὅτι
μέν τί σε καὶ αὐτὸν ὑπειπεῖν ἔδει ἠγνόησας ὑπ' ἀπει-
11 ρίας, καὶ ἀγροικίας δόξαν ὦφλες. ἐπίφθονος δ' οὖν
ἀπὸ τῆς προπόσεως ἐκείνης πολλοῖς τῶν παλαιῶν φί-
λων γεγένησαι καὶ πρότερον ἐπὶ τῇ κατακλίσει ἐλύπη-
σάς τινας αὐτῶν, ὅτι τήμερον ἥκων προὐκρίθης ἀνδρῶν
πολυετῆ δουλείαν ἠντληκότων. τὸ δ' οὖν συμπόσιον
ὅλον ἐκεῖνο σόν ἐστι καὶ περὶ σοῦ οἱ πλεῖστοι τῶν
λόγων· σὺ δ' ὑπ' ἀηθείας πλέον τοῦ ἱκανοῦ ἐμπιὼν
οἴνου λεπτοῦ καὶ δριμέος, πάλαι τῆς γαστρὸς ἐπειγού-
σης, πονήρως ἔχεις, καὶ οὔτε προεξαναστῆναί σοι καλὸν
12 οὔτε μένειν ἀσφαλές· ἀποτεινομένου τοίνυν τοῦ πότου
καὶ λόγων ἐπὶ λόγοις γιγνομένων καὶ θεαμάτων ἐπὶ
θεάμασι παριόντων — ἅπαντα γὰρ ἐπιδείξασθαί σοι
τὰ αὑτοῦ βούλεται — κόλασιν οὐ μικρὰν ὑπομένεις
μήτε ὁρῶν τὰ γιγνόμενα μήτε ἀκούων, εἴ τις ᾄδει ἢ
κιθαρίζει πάνυ τιμώμενος μειρακίσκος, ἀλλ' ἐπαινεῖς
μὲν ὑπ' ἀνάγκης, εὔχῃ δὲ ἢ σεισμῷ συμπεσεῖν ἐκεῖνα
πάντα ἢ πυρκαϊάν τινα προσαγγελθῆναι, ἵνα ποτὲ καὶ
13 διαλυθῇ τὸ συμπόσιον. τοῦτο μὲν δή σοι τὸ πρῶτον,
ὦ ἑταῖρε, καὶ ἥδιστον ἐκεῖνο δεῖπνον, οὐκ ἔμοιγε τοῦ
θύμου καὶ τῶν λευκῶν ἁλῶν ἥδιον, ὁπηνίκα βούλομαι
καὶ ὁπόσον, ἐλευθέρως ἐσθιομένων. ἵνα γοῦν σοι τὴν
ὀξυρεγμίαν τὴν ἐπὶ τούτοις παρῶ καὶ τὴν ἐν τῇ νυκτὶ

ἔμετον, ἔνθεν δεήσει περὶ τοῦ μισθοῦ ξυμβῆναι ὑμᾶς, ὁπόσον τε καὶ ὁπότε τοῦ ἔτους χρὴ λαμβάνειν. παρόντων οὖν ἢ δύο ἢ τριῶν φίλων προσκαλέσας σε καὶ καθίζεσθαι κελεύσας ἄρχεται λέγειν· 'Τὰ μὲν ἡμέτερα ὁποῖά ἐστιν ἑώρακας ἤδη, καὶ ὡς τῦφος ἐν αὐτοῖς οὐδὲ εἷς, ἀτραγῴδητα δὲ καὶ πεζὰ πάντα καὶ δημοτικά, χρὴ δέ σε οὕτως ἔχειν ὡς ἁπάντων ἡμῖν κοινῶν ἐσομένων· γελοῖον γὰρ εἰ τὸ κυριώτατον, τὴν ψυχήν σοι τὴν ἐμαυτοῦ ἢ καὶ νὴ Δία τῶν παίδων' — εἰ παῖδες εἶεν αὐτῷ παιδεύσεως δεόμενοι — 'ἐπιτρέπων τῶν ἄλλων μὴ ἐπ' ἴσης ἡγοίμην δεσπότην. ἐπεὶ δὲ καὶ ὁρίσασθαι 14
τι δεῖ, ὁρῶ μὲν τὸ μέτριον καὶ αὔταρκες τοῦ σοῦ τρόπου καὶ συνίημι, ὡς οὐχὶ μισθοῦ ἐλπίδι προσελήλυθας ἡμῶν τῇ οἰκίᾳ, τῶν δὲ ἄλλων ἕνεκα, τῆς εὐνοίας τῆς παρ' ἡμῶν καὶ τιμῆς, ἣν παρὰ πᾶσιν ἕξεις· ὅμως δ' οὖν καὶ ὡρίσθω τι. σὺ δ' αὐτὸς ὅ τι καὶ βούλει λέγε μεμνημένος, ὦ φίλτατε, κἀκείνων, ἅπερ ἐν ἑορταῖς διετησίοις εἰκὸς ἡμᾶς παρέξειν· οὐ γὰρ ἀμελήσομεν οὐδὲ τῶν τοιούτων, εἰ καὶ μὴ νῦν αὐτὰ συντιθέμεθα· πολλαὶ δέ, οἶσθα, τοῦ ἔτους αἱ τοιαῦται ἀφορμαί. καὶ πρὸς ἐκεῖνα τοίνυν ἀποβλέπων μετριώτερον δῆλον ὅτι ἐπιβαλεῖς ἡμῖν τὸν μισθόν· ἄλλως τε καὶ πρέπον ἂν εἴη τοῖς πεπαιδευμένοις ὑμῖν κρείττοσιν εἶναι χρημάτων.' ὁ μὲν ταῦτα εἰπὼν καὶ ὅλον σε διασείσας ταῖς 15
ἐλπίσι τιθασὸν ἑαυτῷ πεποίηκε, σὺ δὲ πάλαι τάλαντα καὶ μυριάδας ὀνειροπολήσας καὶ ἀγροὺς ὅλους καὶ συνοικίας συνίης μὲν ἠρέμα τῆς μικρολογίας, σαίνεις δὲ ὅμως τὴν ὑπόσχεσιν καὶ τό 'πάντα ἡμῖν κοινὰ ἔσται' βέβαιον καὶ ἀληθὲς ἔσεσθαι νομίζεις, οὐκ εἰδὼς ὅτι τὰ τοιαῦτα

'χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε'. Hom. Il. X 495

εἶθ' ὅτι τὴν αὐθάδειαν πραΰνει. περιαιρουμένη γὰρ τὴν στυγνότητα ποιεῖ πραότητα καὶ χαρὰν ἐλευθέριον.

II Ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ περιέλαβον ἔθεσι καὶ
νόμοις τοὺς τῶν θεῶν ὕμνους ᾄδειν ἅπαντας ἐν ταῖς
ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ καλὸν καὶ
σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν ᾀσμά-
των προσγενόμενος ὁ τῶν θεῶν λόγος ἀποσεμνύνει
τὸν ἑκάστου τρόπον. Φιλόχορος δέ φησιν, ὡς οἱ πα-
λαιοὶ σπένδοντες οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν
σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ, τὸν
2 δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες. ὅτι
μὲν οὖν οὐχ ἡδονῆς χάριν ἐπιπολαίου καὶ δημοτικῆς
ἡ μουσικὴ προῆλθε κατ' ἀρχὰς εἰς τὰς ἑστιάσεις, ὥσπερ
ἔνιοι νομίζουσι, φανερὸν ἐκ τῶν εἰρημένων. Λακεδαι-
μόνιοι δ', εἰ μὲν ἐμάνθανον τὴν μουσικήν, οὐδὲν λέ-
γουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην,
ὁμολογεῖται παρ' αὐτῶν, καί φασι τρὶς ἤδη σεσωκέναι
διαφθειρομένην αὐτήν.

III Καὶ πρὸς γυμνασίαν δὲ καὶ ὀξύτητα διανοίας συμ-
βάλλεται ἡ μουσική. διὸ καὶ τῶν Ἑλλήνων ἕκαστοι
καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώ-
μενοι. οὐ κακῶς δὲ λέγουσιν οἱ περὶ Δάμωνα τὸν
Ἀθηναῖον, ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη
γένεσθαι κινουμένης πως τῆς ψυχῆς· καὶ αἱ μὲν ἐλευ-
θέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας, αἱ δ' ἐναντίαι τὰς
2 ἐναντίας. ὅθεν καὶ τὸ Κλεισθένους τοῦ Σικυωνίων
τυράννου χαρίεν καὶ σημεῖον διανοίας πεπαιδευμένης.
Herod. VI 129 ἰδὼν γάρ, ὥς φασι, φορτικῶς ὀρχησάμενον ἕνα τῶν
τῆς θυγατρὸς μνηστήρων, Ἱπποκλείδης δ' ἦν ὁ Ἀθη-
ναῖος, ἀπορχήσασθαι τὸν γάμον αὐτὸν ἔφησε, νομίζων,
ὡς ἔοικε, καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην. καὶ

γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ τὸ φορτικόν. διὰ 3
τοῦτο γὰρ καὶ ἐξ ἀρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων, τηροῦντες ἀεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ' αὐτῶν, ὅθεν καὶ ὑπορχήματα τὰ τοιαῦτα προσηγόρευον. εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιίαν καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων φησίν, εἴρηκεν οὕτως·

'ὥστ' εἴ τις ὀρχοῖτ' εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐδέν,
ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται.'

ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔ- 4
σχημον τότε καὶ μεγαλοπρεπὲς καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον. ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως·

'οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ.'

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία καὶ ἐπίδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

XVIII. De tribus veteribus Graecorum modis musicis (i. e. Tonarten).

(Athen. Deipnosoph. XIV 624c—625c. cf. fasc. VII p. 3.)

Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ περὶ μουσικῆς I
οὐδ' ἁρμονίαν φησὶ δεῖν καλεῖσθαι τὴν φρύγιον, καθάπερ οὐδὲ τὴν λύδιον. ἁρμονίας γὰρ εἶναι τρεῖς.

λογικῶς καὶ τεχνικῶς πραττόμενον οἰκείως διακείμεθα
καὶ θαυμάζομεν, ἂν ἐπιτυγχάνηται. καθάπερ γὰρ ἡ
μέλιττα τῷ φιλόγλυκυς εἶναι πᾶσαν ὕλην, ᾗ τι μελι-
τῶδες ἐγκέκραται, περιέπει καὶ διώκει, οὕτως ὁ ἄν-
θρωπος γεγονὼς φιλότεχνος καὶ φιλόκαλος πᾶν ἀπο-
τέλεσμα καὶ πρᾶγμα νοῦ καὶ λόγου μετέχον ἀσπάζεσθαι
3 καὶ ἀγαπᾶν πέφυκεν. εἰ γοῦν παιδίῳ μικρῷ προθείη
τις ὁμοῦ μικρὸν μὲν ἄρτον, ὁμοῦ δὲ πεπλασμένον ἐκ
τῶν αὐτῶν ἀλεύρων κυνίδιον ἢ βοΐδιον, ἐπὶ τοῦτ' ἂν
ἴδοις φερόμενον· καὶ ὁμοίως εἴ τις ἀργύριον ἄσημον,
ἕτερος δὲ ζῴδιον ἀργυροῦν ἢ ἔκπωμα παρασταίη δι-
δούς, τοῦτ' ἂν λάβοι μᾶλλον, ᾧ τὸ τεχνικὸν καὶ λογι-
κὸν ἐνορᾷ καταμεμειγμένον. ὅθεν καὶ τῶν λόγων τοῖς
ᾐνιγμένοις χαίρουσι μᾶλλον οἱ τηλικοῦτοι καὶ τῶν παι-
διῶν ταῖς περιπλοκήν τινα καὶ δυσκολίαν ἐχούσαις·
ἕλκει γὰρ ὡς οἰκεῖον ἀδιδάκτως τὴν φύσιν τὸ γλαφυρὸν
4 καὶ πανοῦργον. ἐπεὶ τοίνυν ὁ μὲν ἀληθῶς ὀργιζό-
μενος ἢ λυπούμενος ἔν τισι κοινοῖς πάθεσι καὶ κινή-
μασιν ὁρᾶται, τῇ δὲ μιμήσει πανουργία τις ἐμφαίνεται
καὶ πιθανότης, ἄνπερ ἐπιτυγχάνηται, τούτοις μὲν ἥδε-
σθαι πεφύκαμεν, ἐκείνοις δ' ἀχθόμεθα. καὶ γὰρ ἐπὶ
τῶν θεαμάτων ὅμοια πεπόνθαμεν· ἀνθρώπους μὲν γὰρ
ἀποθνῄσκοντας καὶ νοσοῦντας ἀνιαρῶς ὁρῶμεν· τὸν δὲ
γεγραμμένον Φιλοκτήτην καὶ τὴν πεπλασμένην Ἰο-
κάστην, ἧς φασιν εἰς τὸ πρόσωπον ἀργύρου τι συμμεῖξαι
τὸν τεχνίτην, ὅπως ἐκλείποντος ἀνθρώπου καὶ μαραι-
νομένου λάβῃ περιφάνειαν ὁ χαλκός, ἡδόμεθα ὁρῶντες
5 καὶ θαυμάζομεν. τοῦτο δ'', εἶπον, 'ἄνδρες Ἐπικούρειοι,
καὶ τεκμήριόν ἐστι μέγα τοῖς Κυρηναϊκοῖς πρὸς ὑμᾶς
τοῦ μὴ περὶ τὴν ὄψιν εἶναι μηδὲ περὶ τὴν ἀκοήν, ἀλλὰ
περὶ τὴν διάνοιαν ἡμῶν τὸ ἡδόμενον ἐπὶ τοῖς ἀκού-

σμασι καὶ θεάμασιν. ἀλεκτορὶς γὰρ βοῶσα συνεχῶς
καὶ κορώνη λυπηρὸν ἄκουσμα καὶ ἀηδές ἐστιν· ὁ δὲ
μιμούμενος ἀλεκτορίδα βοῶσαν καὶ κορώνην εὐφραίνει.
καὶ φθισικοὺς μὲν ὁρῶντες δυσχεραίνομεν· ἀνδριάντας
δὲ καὶ γραφὰς φθισικῶν ἡδέως θεώμεθα τῷ τὴν διά-
νοιαν ὑπὸ τῶν μιμημάτων ἄγεσθαι κατὰ τὸ οἰκεῖον.
ἐπεὶ τί πάσχοντες ἢ τίνος ἔξωθεν γενομένου πάθους 6
τὴν Παρμένοντος ὗν οὕτως ἐθαύμασαν, ὥστε παροι-
μιώδη γενέσθαι; καίτοι φασί, τοῦ Παρμένοντος εὐδο-
κιμοῦντος ἐπὶ τῇ μιμήσει, ζηλοῦντας ἑτέρους ἀντεπι-
δείκνυσθαι· προκατειλημμένων δὲ τῶν ἀνθρώπων καὶ
λεγόντων· "Εὖ μέν, ἀλλ' οὐδὲν πρὸς τὴν Παρμένοντος
ὗν", ἕνα λαβόντα δελφάκιον ὑπὸ μάλης προελθεῖν·
ἐπεὶ δὲ καὶ τῆς ἀληθινῆς φωνῆς ἀκούοντες ὑπεφθέγ-
γοντο· "Τί οὖν αὕτη πρὸς τὴν Παρμένοντος ὗν;" ἀφεῖναι
τὸ δελφάκιον εἰς τὸ μέσον ἐξελέγχοντα τῆς κρίσεως
τὸ πρὸς δόξαν, οὐ πρὸς ἀλήθειαν. ᾧ μάλιστα δῆλόν 7
ἐστιν, ὅτι τὸ αὐτὸ τῆς αἰσθήσεως πάθος οὐχ ὁμοίως
διατίθησι τὴν ψυχήν, ὅταν μὴ προσῇ δόξα τοῦ λογικῶς
ἢ φιλοτέχνως περαίνεσθαι τὸ γενόμενον.'

Epigrammata.

1. Ἴβυκε, ληϊσταί σε κατέκτανον ἔκ ποτε νήσου
    βάντ' ἐς ἐρημαίην ἄστιβον ἠιόνα,
 ἀλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
    μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον.
 οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐρινὺς
    τῶνδε διὰ κλαγγὴν τείσατο σεῖο φόνον
 Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
    ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
 οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδὸν
    ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.
   (*Antipater Sid. A. P. VII 745.*)

2. Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
    μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·

ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
  καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.
(*Aeschylus ap. Plut. d. exil. 13 et Athen. XIV p. 627d.*)

3. Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ,
  ἑρπύζοις, χλοεροὺς ἐκπροχέων πλοκάμους,
καὶ πέταλον πάντη θάλλοι ῥόδου ἥ τε φιλορρὼξ
  ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
εἵνεκεν εὐεπίης πινυτόφρονος, ἣν ὁ μελιχρὸς
  ἤσκησεν Μουσέων ἄμμιγα κἀκ Χαρίτων.
(*Simmias A. P. VII 22.*)

4. Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἷλέ σε πότμος,
  καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
  τὸν σοφίῃ Μουσέων μειξάμενον χάριτα,
ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
  Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων. (*A. P. VII 44.*)

5. Μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου· ὀστέα δ' ἴσχει
  γῆ Μακεδών· ᾗ γὰρ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσαις
  τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.
(*Thucyd. A. P. VII 45.*)

6. Ἡρόδοτος Μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη
  ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν. (*A. P. IX 160.*)

7. Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δέ γε πάμπαν
  νῆις ἔφυς Μουσέων, ῥῖψον ἃ μὴ νοέῃς.
εἰμὶ γὰρ οὐ πάντεσσι βατός· παῦροι δ' ἀγάσαντο
  Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.
(*A. P. IX 583.*)

8. Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
  Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.
(*Philipp. A. Plan. 81.*)

9. Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
  ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο. (*A. Plan. 129.*)

10. Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος
  βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.
(*Anacreon A. P. IX 715.*)

11. Τὰν ὀλοὰν Μήδειαν ὅτ' ἔγραφε Τιμομάχου χείρ,
  ζάλῳ καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν' ἤθεα δισσὰ χαράξῃ,
  ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ' εἰς ἔλεον.
ἄμφω δ' ἐπλήρωσεν· ὅρα τύπον· ἐν γὰρ ἀπειλᾷ
  δάκρυον, ἐν δ' ἐλέῳ θυμὸς ἀναστρέφεται.
ἀρκεῖ δ' ἁ μέλλησις, ἔφα σοφός· αἷμα δὲ τέκνων
  ἔπρεπε Μηδείῃ κοὐ χερὶ Τιμομάχου.
(*Antiphilus A. Plan. 136.*)